ἡγεῖ☉, ὅπως ἅμα
ματρὶ φορβάδι
δρόμον ἄγει ταχύπους,
σκιρτήμασι βάκχας.

τὶς γὰρ πύλαισι Κάδμου ἐκκαλεῖ δόμων,
Ἀγαύης τ☉ πατρὸς, ὃς πόλιν Σιδωνίαν
λιπὼν, ἐπύργωσ' ἄστυ Θηβαίων τόδε.
ἴτω τις, εἰσαγγελᾶ Τειρεσίας ὅτι
ζητεῖ νιν. οἶδε δ' αὐτὸς, ὧν ἥκω πέρι,
ἃ, τε ξυνηθέμην πρέσβυς ὢν γέροντι,
θύρσους

θύρσους ἀναλαβεῖν, καὶ νεβρῶν δορὰς ἔχειν,
στέφανον τε κισσοῦ περὶ τὰ λιόκινον βλαστήμασιν.

ὦ φίλτατ', ὡς σὸν γῆρων ἡδόμην λύων,
σοφὸν σοφὸς παρ' ἀνδρὸς, ὡς δόμοισιν ὤν.
ἥκω δ' ἕτοιμ☉, τοῦδ' ἔχων σκῦλον θεοῦ.
δεῖ γάρ νιν ὄντα παῖδα θυγατρὸς ἐξ ἐμῆς
Διόνυσον, ὃς πέφην' ἀνθρώποις θεὸς,
ὅσον κατ' ἡμᾶς δυνατὸν, αὔξεσθαι μέγαν.
ποῖ δεῖ χορεύειν, ποῖ καθιστάναι πόδα,
καὶ κρᾶτα σείσαι πολιόν, ἔξηγοῦ σύ μοι,
γέρων γέροντι Τειρεσίας. σὺ γὰρ σοφός,
ὡς δ' ἀμπαυμ' ἂν ὄντε νύκτ', ὅτ' ἡμέραν
θύρσῳ κροτοῦμεν γῆν. ἐπιλελήσμεθ' ἡδέως,
γέροντες ὄντες. Τει. τοῦτό μοι πάρεστι κἄμέ.

ἐγὼ γὰρ ἦλθον, ἐπιχειρήσων σοφοῖς.
καὶ δεῦρο βακχεύσοντες ἑτοίμως ἔχω.
ἆρ' οὐχ ὁμοίως ἂν ὁ θεὸς τιμὴν ἔχοι.
γέρων γέροντα παιδαγωγήσω σ' ἐγώ.
ὁ θεὸς ἀμοχθεὶ κεῖσε νῷν ἡγήσεται.
μόνοι δὲ πόλεως Βακχίῳ χορεύσομεν;
μόνοι γὰρ εὖ φρονοῦμεν. οἱ δ' ἄλλοι, κακῶς.
μακρὸν τὸ μέλλειν. ἀλλ' ἐμῆς ἔχου χερός.
λάβ' ἠδὲ χειρὸς, καὶ ξυνωρίζου χέρα.
ἐγὼ καταφρονῶ γὼ τῶν θεῶν, θνητὸς γεγώς.
δὲν σοφιζόμεθα τοῖσι δαίμοσιν.
πατρὸς πάρα δοχὰς, ἃς θ' ὁμήλικας χρόνῳ
κεκτήμεθ', οὐλεῖς αὐτὰ καταβάλλει λόγ☉,
οὐδ' εἰ σὺ ἄκρων τὸ σοφὸν εὕρηκας φρενῶν.
ἐρεῖ τις ὡς τὸ γῆρας οὐκ αἰσχύνομαι,
μέλλων χορεύειν κρᾶτα λιόσσους ἐμόν;

ὁ γὰρ

δ' γὰρ δίκης ὁ θεός, εἴ τε τὸν νέον
ἐχθῶ χρεὼν εἶναι, εἴτε καὶ γεραίτερον,
ἀλλ' ἐξ ἁπάντων βέλτιστα τιμὰς ἔχειν
ποινάς. δι' ἀριθμῶν δ' ὀδὲν ἄξεσθαι θέλει.
ἐπεὶ σὺ φεύγων Τειρεσία τόδ' ἐχ ὁρᾷς,
ἐγὼ προφήτης σοι λόγων γεγήσομαι.
Γραθεὺς πρὸς οἴκους ὅδε δι' ἀστονδῆς πορᾷ,
Ἐχίονος πῶς, ὦ πρεσβῦ, δίδωμι γῆς,
ὡς ἐπόκται. τί ποτ' ἐρεῖ νεώτερον;
ἔκδημος ὢν μὲν, δῆθ' ἑτύγχανον χθονός.
κλύω δὲ νεοχμὰ πόλιν δ' αὖ πόλιν κακὰ,
γυναῖκας ἡμῖν δώματ' ἐκλελοιπυίας,
πλανᾶσι Βακχείαισιν. ὧν δὲ λασκίοις
ὄρεσι θοινᾶσθαι τὸν νεωστὶ δαίμονα
Διόνυσον, ὅστις ὅστις τιμώσας χορούς.
πλήρεις δὲ θιάσοις ὧν μέσοισιν ἑστάναι
κρατῆρας. ἄλλῳ δ' ἄλλος εἰς ἐρημίαν
πρόσοδον ἀφροσύνας ἀρσένων ὑπηρετεῖν,
πρόφασιν μὲν ὡς δὴ μαινάδας θυσιώσας,
τιμῶ δ' Ἀφροδίτην πρόσω δ' ἄγειν τὸν Βακχίδα.
ὅστις μὲν ὧν εἴληφα δυμίδος χέρας,
σώζουσι πανδήμοισι πρόσουλοι σέγαις.
ὅσας δ' ἄπωσιν, ἐξ ὄρους θηράσομαι.
ἐνώτ', Ἀγαυὴν θ', ἣ μ' ἔτικτ' Ἐχίονι,
Ἀκταίωνός τε μητέρ', Αὐτονόην λέγω.
καὶ σφᾶς σιδηραῖς ἁρμόσας ἐν ἀρκύσι,
παύσω μανούσας δῆτα Βακχείας τάχα.
λέγεται δ' ὡς τις εἰσελήλυθε ξένος
γόης, ἐπῳδὸς, Λυδίας ἐκ χθονὸς,
ξανθοῖσι βοστρύχοισιν εὐόσμου κόμης,

οἰνωπὰς

οἰνωπὰς ὄσοις χαρίτας Ἀφροδίτης ἔχων
ὅς ἡμέρας τε κὐφρόνας συγγίγνεται,
τελετὰς πρωτείνων δύστας νεανίσιν.
εἰ δ' αὖ μόρου εἴσω δόλε λήψομαι στέγης,
παύσω λιτυπτάντα θύρσον, αὖασ εἰόντά τε
κόμας, πρὸς χθόνα σώματ' ἰώεις τινάσσων.
ἐκεῖνος εἶναί φησι Διόνυσον θεόν.
ἐκεῖνος ᾧ μηρῷ ποτ' ἐρράφη Διός.
ὃς ἐκνυσθέντα λαμπάσι νύμφαις
σὺν μητρί, δίδυς ὅτι γάμους ἐψεύσατο.
τοιοῦτ' ἐχὶ δεινῆς ἀγχόνης ἔς' ἄξια,
ὕβρεις ὑβρίζειν, ὅστις ὅσιον ὀξύνει;
ἀτὰρ τόδ' ἄλλο θαῦμα, τὴν τρασκόπον
ἐν ποικίλαισι νεβρίσι Τειρεσίαν ὁρῶ,
πατρός τε μητρὸς δ' ἐμῆς πολιὰ γένυ,
νάρθηκι βακχεύοντ'. αὐαίνομαι πάτερ,
τὸ γῆρας ὑμῶν εἰσορῶν, νοῦν οὐκ ἔχον.
ἐκ ἀρτίνα ξεις λιτσόν; ἐκ ἐλευθέραν
θύρσοι μεθήσεις χεῖρ' ἐμῆς μητρὸς πάτερ;
σὺ ταῦτ' ἔπεισας Τειρεσία; τόνδ' αὖ θέλεις
τὸν δαίμον' ἀνθρώποισιν εἰσφέρων νέον,
σκοπεῖν πτερωτὸν, ἐμπύρων μισθὸς φέρειν;
εἰ μή σε γῆρας πολιὸν ἀνέρρυτο.
ἐκαθησ' ἂν ἐν Βάκχαισι δίεσμον μέσαις,
τελετὰς πονηρὰς εἰσάγων. γυναιξὶ γὰρ
ὅταν βότρυος ἐν δαιτὶ γίγνεται γάμος,
ἐκ ὑγιὲς ὀδὲν ἔτι λέγω τῶν ὀργίων.
ὦ δυσσεβείας ὦ ξέν', οὐκ αἰσθῇ θεὸς,
κάδμου τε τὸν σπείραντα γηγενῆ σέβων.
Ἐχίονος δ' ὢν παῖς, ἐκπεπαχυμένος γνώμην;

Οταν

Hic oritur disputatio
de causa religio
cf. Vulken. ad
Phoen. p. 72.
[illegible]
[illegible]
quando sapientia cadit in [illegible]
[illegible] malum est
[illegible] malum
[illegible]. Nulla ca-
[illegible] pestis Reip.
[illegible] orator malus

Ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
Καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν.
σὺ δ' εὔτροχον μὲν γλῶσσαν ὡς φρονῶν ἔχεις,
ἐν τοῖς λόγοισι δ' οὐκ ἐνεισί σοι φρένες.
Θρασὺς δὲ δυνατὸς, καὶ λέγειν οἷός τ' ἀνὴρ,
Κακὸς πολίτης γίγνεται, νοῦν οὐκ ἔχων.
οὗτος δ' ὁ δαίμων ὁ νέος, ὃν σὺ διαγελᾷς,
οὐκ ἂν δυναίμην μέγεθος ἐξειπεῖν ὅσος
καθ' Ἑλλάδ' ἔσται. δύο γὰρ ὦ νεανία,
τὰ πρῶτ' ἐν ἀνθρώποισι, Δήμητηρ θεὰ,
γῆ δ' ἐστιν, ὁ πόμα τ', ὁπότερον βούλει, καλεῖ.
αὕτη μὲν ἐν ξηροῖσιν ἐκτρέφει βροτοὺς,
ὅδ' ἦλθ' ἐπὶ ταὐτίπαλον, ὁ Σεμέλης γόνος.
βότρυος ὑγρὸν πόμ' εὗρε, κεἰσηνέγκατο
θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς.
ὕπνου τε λήθην τῶν καθημέραν κακῶν.
δίδωσιν, οὐδ' ἔστ' ἄλλο φάρμακον πόνων.
οὗτος θεοῖσι σπένδεται θεὸς γεγώς.
ὥστε διὰ τοῦτον τἀγαθ' ἀνθρώπους ἔχειν.
καὶ καταγελᾷς νιν, ὡς ἐν ἐρράφη Διὸς
μηρῷ, διδάξω σ' ὡς καλῶς ἔχει τόδε.
ἐπεὶ νιν ἥρπασ' ἐκ πυρὸς κεραυνίου
Ζεὺς, εἰς ὄλυμπον βρέφος ἀνήγαγεν νέον,
Ἥρα νιν ἤθελ' ἐκβαλεῖν ἀπ' οὐρανοῦ.
Ζεὺς δ' αὐτεμηχανήσαθ' οἷα δὴ θεός,
ῥήξας μέρος τι τοῦ χθόν' ἐγκυκλουμένου
αἰθέρος, ἔθηκε, τόνδ' ὅμηρον ἐκδιδοὺς
Διόνυσον Ἥρας νεικέων. χρόνῳ δὲ νιν
βροτοὶ τραφῆναί φασιν ἐν μηρῷ Διός,

ὄνομα

ὄνομα μεταστήσαντες, ὅτι θεᾷ θεὸς
Ἥρα ποθ' ὡμήρευσε, συνθέντες λόγον.
μάντις δ' ὁ δαίμων ὅδε. καὶ γὰρ Βακχεύσιμον,
καὶ τὸ μανιῶδες, μαντικὴν πολλὴν ἔχει.
ὅταν γὰρ ὁ θεὸς εἰς τὸ σῶμ' ἔλθῃ πολὺς,
λέγειν τὸ μέλλον τοὺς μεμηνότας ποιεῖ.
Ἀρεώς τε μοῖραν μεταλαβὼν ἔχει τινά.
στρατὸν γὰρ ἐν ὅπλοις ὄντα, κἀπὶ τάξεσιν,
φόβος διεπτόησε πρὶν λόγχης θίγειν.
μανία δὲ καὶ τοῦτ' ἐστὶ Διονύσου πάρα.
ἔτ' αὐτὸν ὄψει κἀπὶ δελφίσιν πέτραις
πηδῶντα σὺν πεύκαισι δικόρυφον πλάκα,
βάλλοντα, καὶ σείοντα βάκχιον κλάδον,
μέγαν τ' ἀν' Ἑλλάδ'. ἀλλ' ἐμοὶ Πενθεῦ πιθοῦ,
μὴ τὸ κράτος αὔχει δύναμιν ἀνθρώποις ἔχειν,
μὴ δ' ἢν δοκῇς μὲν, ἡ δὲ δόξα σου νοσῇ,
φρονεῖν δόκει τι. τὸν θεὸν δ' εἰς γῆν δέχου,
καὶ σπένδε, καὶ βάκχευε, καὶ στέφου κάρα.
οὐχ ὁ Διόνυσος μὴ σωφρονεῖν ἀναγκάσει
γυναῖκας ἐν τῇ Κύπριν, ἀλλ' ἐν τῇ φύσει
τὸ σωφρονεῖν ἔνεστιν εἰς τὰ πάντ' ἀεί.
τοὺς σκοπεῖν γὰρ χρή. καὶ γὰρ ἐν Βακχεύμασιν
οὗσ' ἥγε σώφρων, οὐ διαφθαρήσεται.
ὁρᾷς; σὺ χαίρεις ὅταν ἐφεστῶσιν πύλαις
πολλοὶ, τὸ Πενθέως δ' ὄνομα μεγαλύνῃ πόλις.
κἀκεῖνος οἶμαι τέρπεται τιμώμενος.
ἐγὼ μὲν οὖν, καὶ Κάδμος, ὃν σὺ διαγελᾷς,
κισσῷ τ' ἐρεψόμεσθα, καὶ χορεύσομεν
πολιὰ ξυνωρίς. ἀλλ' ὅμως χορευτέον,
κοὐ θεομαχήσω σῶν λόγων πεισθεὶς ὕπο.

Bacchus vates.

cf. Vulken. ad Sikol. ad Phoen. p. 638.

pulcher locus.
Cogita quam tam
filo pendeant
humana

Confutatio. Arg: valde n
firmum Nam. quid e
venus ebria cura
[illegible] & capitis
q sint discrimina
nescit inqt Iuuen

Ab ipsius penthei pe
sona. à minore
ad maius. [illegible]
lectaris honore

cf. Vulken. ad Hippol. V. 8.

μαίνῃ

μαίνη γὰρ ὡς ἄλγισα. λίθτε φαρμάκοις
ἄκη λαβοις ἄν, ὅτ' ἀνδὺ τόσων νοσεῖς.
χο ὦ πρέσβυ, Φοίβόν τ' ὀ λατασχμύεις λόγοις,
ἡμῶν τε Βρόμιον σωφρονεῖς μέγαν θεόν.
κάδμ. ὦ παῖ, λαλῶς σοι Τειρεσίας πεφύνεσεν.
οἴκει μεθ' ἡμῶν, μὴ θύραζε τῶν νόμων.
νῦν γὰρ πέτηι τε, καὶ φρονῶν ὀδὲν φρονεῖς.
λέι μὴ γάρ εἶναι ὁ θεὸς ὅδ', ὡς σὺ φῆς,
πρὸς σοί λεγέσθω. καὶ λαταψεύδηι λαλῶς,
ὡς ἔστι Σεμέλης, ἵνα δοκῆι θεὸν τεκεῖν,
ἡμῖν τε τιμὴ, παντὶ τῶι γένει πρόσῃ.
ὁρᾶις τὸν Ακταίωνος ἄθλιον μόρον,
ὃν ὠμόσιτοι σκύλακες, ἃς ἐθρέψατο,
λιεπάσαντο λρέισσον' ἢ λιπηγίαις
Αρτέμιδος ἐν λομπάσαντ', ἢ ὀργάσιμα
ὁ μὴ πεισθῆς σὺ, δῦρό σε στέψω λάρα
λιοσῷ. μεθ' ἡμῶν τῶν θεῶν τιμὰς δίδα.
χο οὔ μὴ πεισθῶσίσεις χεῖρα. Βακχεύσεις δ' ἰών.
μήδ' ἐξομόρξῃ μωρίαν τὴν σὴν ἐμοί.
δεῖ σῆς ἀνοίας τόνδε τὸν δισδαίσκαλον,
δίκην μέτειμι. σφέτερα τις ὡς τάχος.
ἐλθὼν δὲ θάκος τόσδ', ἵν' οἰωνοσκοπεῖ,
μοχλοῖς τριαίνης λιάνατρεψον ἐμπαλίν,
ἄνω λάτω τὰ πάντα συγχέας ὁμοῦ.
καὶ σέμνατ' ἀνέμοις, καὶ θυέλλαισι μέθυ.
μάλιστα γάρ νιν λυπέσεται δράσας τάδε.
οἶδ' αὐτὰ πόλιν σείσοντος, ἐξιχνεύσατε
τὸν θηλύμορφον ξένον, ὃς εἰσφέρει νόσον
λαινὴν γυναιξί, καὶ λέχη λυμαίνεται.
λᾶν πορ λάβητε, δίσμιον πορεύσατε
δεῦρ'

Admonitio Cadmi

Thomæ argum quo hoc tempore dicam nihil hoies.

δεῦρ' αὖ τὸν, ὡς ἂν λύσιμα δίκης τυχὼν
θανὼν, πυρᾶι Βάκχιον γῆ Θήβας ἰδών.
τε ὦ χέτλι, ὡς οὐκ οἶδα πῶ ποτ' εἶ λόγων. Tyrrias ob. inrgat prophe
μέμνασ' ἔδη, καὶ πρὶν ἐξέσης φρενῶν.
σὺν ἐμοὶ νῦν ἡμεῖς καὶ δίμε, διὰ ξαυτώμεθα
τοῦτ' τε τόδε, καὶ πόρ' ὄντ' ἀγρίᾳ,
τοῦτ' τε πόλεως τὸν θεὸν, μηδὲν νέον
δρᾶν. ἀλλ' ἕπου μοι λιοσίνῃ βάκτρον μετά.
πειρῶ δ' ἀνορθοῦν σῶμ' ἐμόν, διάγω τὸ σόν.
,, γέροντε δ' αἰσχρὸν δύο πεσεῖν. ἴτω δ' ὅμως.
τῷ Βακχίῳ γὰρ τῷδ' Διὸς δοθλευτέον.
Πενθεὺς δ' ὅπως μὴ τοῦνθ' εἰσόψεσι δόμοις Vahémũ. Et sunt ipsa
τοῖς σοῖσι κάδμε, μαντικῆι δ' οὐ λέγω, sapienter dicta.
,, τοῖς πράγμασιν δέ. μῶρα γὰρ μῶρον λέγει.
χο ὅσια πότνια θεῶν. ὁ νόμος σὸς παρὰ πόδα ἰσχύει. Optimus ortus
ὅσια δ', ἃ σῇ γαῦ prosperitas chori
χρύσεα πτόρυγα φορεῖς,
πάρεστε Πενθεὼς ἀΐεις.
ἀΐεις δ' ὃ χ' ὁσίαν ὕβριν
ἐς τὸν Βρόμιον τὸν Σεμέλας,
ἐν πρώταις καλλισεφάνοις δύφροσύναις Collaudatio Bacchi
θάλλοντα πρῶτον μακάρων. ὃς πάρεστ' ἔχει,
θιασεύειν τε χορῶις,
μετά τ' αὐλῶ γελάσαι,
ἀρπᾶσαί τε μερίμνας,
ὁπόταν βότρυος ἔλθῃ
γανόωι ἐν δαιτὶ θεῶν.
λιοσοφόροις δ' ἐν θαλίαις
αὐθάδεσι λρατὸς ὕπνον ἀμφιβάλλει.
,, Αχαλίνων σομάτων, Graviſsima ſorm

» Ανόμα τ' ἀφροσύνας,
» Τὸ τέλ☉ δ' υσυχία.
» Ο δὲ τᾶς ἡσυχίας
» Βίοτ☉, καὶ τὸ φρονεῖν, ἀσά-
» λευτον μένει, καὶ σωίζει
» Δῶμα. πρόσω γὰρ, ἀλλ' ὅμως αὐθρᾶ ναέ-
» Οντ☉, ὁρῶσιν τὰ βροτῶν ὀρθώματα.
» Τὸ σοφὸν δ' ὁ σοφία.
» Τότε μὴ θνητὰ φρονεῖν,
» Βραχὺς αἰών. ὃς δ' τότῳ
» Δὲ πις αὖ μεγάλα διώκων,
» Τὰ πρόσφορ' οὐχὶ φρένει.
» Μαινομένων οἵδε τρόποι,
» Καὶ βλασφήμου πρὸς ἐμοῦγε φωτός.
ἐκοίμων ποτὶ ταὶ Κύπριν,
ναῶσον τᾶς Αφροδίτας,
ἵνα θελξίφρονός νέμονται
θνατοῖσιν ὁρῶτός.
Γαῦρον θ', ὃν ἑκατόσομοι
Βαρβάρων ποταμοῦ ῥοαὶ,
βλαρπίζουσιν ἄνομβροι.
ὅπου βαλλισβυομένα
πορία μόσει☉ ἕβρα,
σεμνὰ βλεισὺς Ολύμπου,
ἐκεῖσ' ἄγε με
Βρόμιε, Βρόμιε,
πρόβακχήϊε βλαῖμον.
ἐκεῖ χάριτ☉.
ἐκεῖ δὲ πόθ☉.
ἐκεῖ δὲ βάκχαισι

θέμις

θέμις ὀργιάζειν.
ὁ βλαίμων ὁ Διὸς παῖς,
χαίρει μὲν θαλίαισιν, Demoft
φιλεῖ δ' ὀλβοδότειραν εἰρή- εἰρήνο φύλαξ
ναν, κουροτρόφον θεάν.
ἴσαν δ' ἐς τε θὴν ὄλβιον, Bacchus deus
τόν τε χέρονα βλῶκ' ἔχειν æqualis
οἶνο τερψιμ ἄλυπον.
μισεῖ δ' ὧ μὴ ταῦτα μέλει
ἡμ φάο☉, νύκτας τε φίλας
δυαίωνα διαζῆν.
σοφὸν δ' ἀπέχειν Qui sapit ille
πραπίδα, φρενά τε, abſtinebit ab hoſte
πολιατῶν πρὰς φῶτ'. cruento.
ὃ πλῆθ☉ ὅτι
τε φαυλότερον
γνώμισε, χρῆταί τε.
τόδε τοι λέγοιμ' ἄν.
Βε Γενθεῦ, ναῶσμεν, τιμὰν δ' ἄγραν ἠγρυκότες, Miniſtri addunt
ἐφ' ἣν ἔπεμψας. δὸν δ' ἄπρακτ' ὀρμήσαμεν. Bacchũ captũ
ὁ θὴρ δ' ὁδ' ἡμῖν πρᾶ☉. δὲ ὑπέστασε
φυγῇ πόδ', ἀλλ' ἔδωκεν ὀκ ἄκων χρόας,
δὲ ὠχρὸς, δὲ ἥλλαξεν οἰνωπὸν γένυν.
γελῶν δ', καὶ βλῆν, βάπτα γεμ' ἑβόρᾳ.
ἔμεινέ τε, τὸμὸν δύπρεπὲς ποιούμεν☉.
βάγω δὶ αὐδῶς εἶπον, ὦ ξέν', ὀχ ἑκὼν
ἄγω σε, Πενθέως δ', ὃς μ' ἔπεμψεν ἰσολαῖς.
ἃς δ' αὖ σὺ βακχὰς εἷρξας, ἃς συνήρπασας,
βάδησας φ' δεσμοῖσι κἀν δίκαι σέγης.
φρὰδμα γ' ἐκεῖναι λελυμέναι πό☉, ὀργάδας

σκιρτῶσι, βρόμιον ἀναπαλύμενοι θεόν.
αὐτόματα δ' αὐτοῖς δέσμα λελύθη σφ' ὧν,
ἱλαδὸς τ' ἀνῆκαν θύρετρ' ἄνευ θυητᾶς χερός.
πολλῶν δ' ὅδ' ἀνὴρ θαυμασίων ἥκει πλέως
εἰς τάσδε Θήβας. σὺ δὲ τἄλλα χρὴ μέλειν.
Πεν. λάζυδε χειρῶν τῶνδ'. ἐν ἄρκυσιν γὰρ ὧν
ἐκ ἔσιν ὅτως ὠκὺς, ὥστέ μ' ἐκφυγεῖν.
ἀτὰρ τὸ μὲν σῶμ' ἐκ ἄμορφον εἰς ἔρωτ',
ὡς εἰς γυναῖκας, ἐφ' ὅτῳ δεῦρ' εἰς Θήβας πάρει.
πλόκαμός τε γὰρ σοῦ τανανὸς, ἀ πάλης ὕπο,
γῆθεν πρὸ αὐχημοῦ, πόθου πλέως.
λευκὴν δὲ χροιὰν εἰς παρασκευὴν ἔχεις,
οὐχ ἡλίᾳ βολαῖσιν, ἀλλ' ὑπὸ σκιᾶς
τὴν Ἀφροδίτην καλλονῇ θηρώμενον.
πρῶτον μὲν οὖν μοι λέξον, ὅστις εἶ γένος.
Διό. ὁ κόμος οὐδείς. ῥᾴδιον δ' εἰπεῖν τόδε.
τὸν αὐθεμόλημ' Τμώλου οἶδα τὸν λυδῶν;
Πεν. οἶδ', ὃς τὸ Σάρδεων ἄστυ πολιάλκει κύκλῳ.
Διό. γῆ τοῦθεν εἰμί. Λυδία δέ μοι πατρίς.
Πεν. πόθεν δὲ τελετὰς τάσδ' ἄγεις εἰς Ἑλλάδα;
Διό. Διόνυσος ἡμᾶς ἐβάκευσ', ὁ τοῦ Διός.
Πεν. Ζεὺς δ' ἔς' ἐκεῖ τις, ὃς νέους πίκτει θεούς;
Διό. οὐκ, ἀλλ' ὃς Σεμέλης γῆθεν δ' ἔζευξεν γάμοις.
Πεν. πότερα δ' ἢ νύκτωρ σ', ἢ λαθ' ὄμματ' ἀνάγκασεν;
Διό. ὁρῶν ὁρῶντα, κἀδίδωσιν ὄργια.
Πεν. τὰ δ' ὄργι' ὅδε, τίν' ἰδέαν ἔχοντά ἐσι;
Διό. ἄῤῥητ', ἀβακχεύτοισιν εἰδῆναι βροτῶν.
Πεν. ἔχει δ' ὄνησιν τοῖσι θύουσιν τινά;
Διό. ἀθέμις ἀκοῦσαι σ', ἔσι δ' ἄξι' εἰδῆναι.
Πεν. εὖ τοῦτ' ἐκβεβλήλυσας, ἵν' ἀκοῦσαι θέλω.

ἀσέ-

Διό. ἀσέβειαν ἀσκῶν τ' ὀργὴ ἐχθαίρει θεός.
Πεν. τὸν θεὸν γὰρ ὁρᾶν σὺ φὴς σαφῶς, ποῖός τις ἦν;
Διό. ὁποῖος ἤθελ', οὐκ ἐγὼ τάσσου τόδε.
Πεν. ταῦτ' οὖν παρωχέτευσας οὔ, λεύσσειν λέγων.
Διό. δόξει τις ἀμαθεῖ σοφὰ λέγων, ἀκεῦν φρονεῖν.
Πεν. ἦλθον δὲ πρῶτα δεῦρο, τὸν ἄγων δαίμονα;
Διό. πᾶς ἀναχορεύει βαρβάροις τάδ' ὄργια.
Πεν. φρονοῦσι γὰρ μάκιον Ἑλλήνων πολύ.
Διό. τάδ' οὖν μᾶλλον. οἱ νόμοι δὲ διάφοροι.
Πεν. τὰ δ' ἱερὰ, νύκτωρ, ἢ μεθ' ἡμέραν τελεῖς;
Διό. Νύκτωρ τὰ πολλὰ σεμνότητ' ἔχει σκότος.
Πεν. τοῦτ' εἰς γυναῖκας δόλιον ὄζει, κἀσάθρον.
Διό. Καὐ ἡμέρᾳ τό γ' αἰσχρὸν ἔζ ἔστ' ἔχειν ἄν.
Πεν. δίκην σε δοῦναι δεῖ σοφισμάτων κακῶν.
Διό. σὲ δ' ἀμαθίας, ἀσεβοῦντ' εἰς τὸν θεόν.
Πεν. ὡς θρασὺς ὁ βάκχος, κἀκ ἀγύμνασος λόγων.
Διό. εἰφ' ὅ, τι παθεῖν δεῖ. τί με τὸ δεινὸν ὀργάσει;
Πεν. πρῶτον μὲν ἁβρὸν βόστρυχον τεμῶ σέθεν.
Διό. ἱερὸς ὁ πλόκαμος. τῷ θεῷ δ' αὐτὸν τρέφω.
Πεν. ἔπειτα θύρσον τόνδε παρὰ δεξιᾶς ἔχε.
Διό. αὐτός μ' ἀφαιροῦ. τόνδε Διονύσου φορῶ.
Πεν. εἱρκταῖσί τ' ἔνδον σῶμα σὸν φυλάξομεν.
Διό. λύσει μ' ὁ δαίμων αὐτὸς, ὅταν ἐγὼ θέλω.
Πεν. ὅταν γε βακχεύσης αὐτὸν ἔν Βάκχαις παθείς.
Διό. καὐ νῦν ἃ πάσχω, πλησίον παρὼν ὁρᾷς.
Πεν. καὶ πῶς; σὺ γὰρ φανερὸς ὄμμασίν γ' ἐμοῖς.
Διό. παρ' ἐμοί. σὺ δ' ἀσεβὴς αὐτὸς ὢν, ἀκ εἰσορᾷς.
Πεν. λάζυδε. βακχεύσει με, κἀμὲ Θήβας ὀλεῖ.
Διό. αὐλῶ με μὴ δεῖν σωφρονοῦν, ἀ σώφρονσιν.
Πεν. ἐγὼ δὲ δεῖν σε, δυσιώτερον σέθεν.

Διο οὐκ οἶδ' ὅτι ζῇς, ἀλλ' ὁρᾷς ὅθ' ὅσπις εἶ.
Πεν Πενθεύς, Ἀγαυῆς παῖς, πατρὸς Ἐχίονος.
Διό φῶς ἐλυσυχῆσαι τόνομ' ὡς τάχιστά σε.
Ψευ χώρει. λαθέρξατ' αὐτὸν ἱππικαῖς τέλας
φαρέταισιν, ὡς αὖ σκότιον εἰσορᾷ λυέφας.
ἐκεῖ χόρευε. τάσδε δ' ἃς ἄγων πάρει,
λακχῶν συνοργὰς, ἢ Διὶ μηκέτι σοὶ,
ἢ χεῖρα δίπτυ τοῦδε, καὶ βύρσης λιτύπα
παύσας, ἐφ' ἴσοις μηνίδας λεκτήσομαι.
Διό εἰ χρὴ μὲν ἄν. ὅ, τι γὰρ μὴ χρεών, οὐ χρεών
παθεῖν. ἀτὰρ τοι φῶς ἄποινα ὑβρισμάτων
μέτεισι Διόνυσός σ', ὃν οὐκ ἔστιν λέγεις.
ἡμᾶς γὰρ ἀθλίους, λεῖνον εἰς θεσμοὺς ἄγεις.
Χο Ἀχελῷε θύγατερ,
ποτνί', ὦ πάρθενε Δίρκα.
σὺ γὰρ μὲν σᾶς ποτε ταγαῖς,
ὃν Διὸς βρέφος ἔλαβες.
ὅ, τε μηρῷ πυρὸς ἐξ ἀθανάτου Ζεὺς
ὁ τεκὼν ἤρπασέ νιν
τάδε καὶ βοήσας,
ἴθι ὦ Διθύραμβ', ἐμὰν
ἔσεναι τάνδε βᾶθι νηδύν.
ἀναφανῶ σε τόδε ὦ
βακχιε Θήβαις ὀνομάζειν.
σὺ δέ μ' ὦ μάκαιρα Δίρκα,
στεφανηφόρους ἀπωθῇ
θιάσους ἔχουσαν ἐμοί.
τί μ' αὐαίνῃ; τί με φεύγεις,
ἔτι ναὶ τὰν Βοτρυώδη
Διονύσου χαρεῖν οἴνᾳ,

ἔτι σοι τῶ Βρομίῳ μελήσω.
οἷαν οἵαν ὀργὰν
ἀναφαίνει, χθόνιον
γόνον, ἐκφύς τε δράκοντος
πρὸς Πενθεύς, ὃν Ἐχίων
ἐφύτευσε χθονίου.
ἀγριωπὸν τόραν,
ὀφθαλμὸν βρότειον,
φόνιον δ' ὥστε γίγαντος
τ' αὐτίπαλον θεοῖσιν. ὃς με βρόχοισι τὰν
τοῦ Βρομίου τάχει σωφρονεῖ.
ὃν ἐμὸν γόνον ἔχει
πρώμαθος ἥδη θιασώταν,
σκυτίαις λιρυπηνὸν ἐν ἑρκταῖς.
ἐσορᾷς τάδε ὦ Διὸς παῖ
Διόνυσε, σὰς προφήτας
ἐν ἁμίλλαισιν ἀνάγκας;
μόλε χρυσῶπα, λυάσσων
ἀνὰ θύρσον λιάτ' Ὀλύμπου.
φονίᾳ δ' ἀνδρὸς ὕβριν λιάτεχε.
πόθι Νύσας ἆρα θηροτρόφου θυρσοφορεῖς,
θιάσους ὦ Διόνυσος, ἢ
κορυφαῖς λωρυκίαις.
τάχα δ' ἐν ταῖς πολυλιγήτοισιν Ὀλύμπου
θαλάμοις, ἐνθα ποτ' Ὀρ-
φεὺς λιθαρείζων
σώιαγε λιγύθρεα μέ-
σαις, σώιαγε θῆρας ἀγρώτας.

μάκαιρ' ὦ Πιερία,
σέβεταί σ' ὁ Βύιος.
ἥξει τε χρυσόν
ἅμα βακχεύμασι.
τόν τ' ὠκυρόαν
διαβὰς Ἀξιόν,
εἰλισσομένας τε μαινάδας ἄξει,
λύδιαν δὲ, γᾶς τᾶς εὐδαιμονίας
βροτοῖς ὀλβοδόταν, πατέρα τε,
τὸν, ἔκλυον εὐίππου χώραν ὕδασι
καλλίστοισι λιπαίνειν.

Bacchus vrget strophis ad ingressum, is exclamat

στρ. ἰὼ, λύετ' ἐμᾶς, λύετ' αὐλᾶς.
ἰὼ Βάκχαι, ἰὼ Βάκχαι.
τίς ὅδε; τίς, πόθεν ὁ κέλαδος
αὐλᾶν μ' ἐκάλεσεν σύριγξ;
στρ. ἰὼ πάλιν αὐδῶ,
ὁ Σεμέλας, ὁ Διὸς παῖς.
ἰὼ ἰὼ λέπετε, λέπετε,
μόλε νυῶ ἡμέτερον εἰς θιασόν.
ὦ βρόμιε, βρόμιε.
πέδον χθονὸς ἔνοσι πότνια,
ἄ, ἄ. τάχα τὰ Πενθέως μέλαθρα
διαλυνάξεται πεσήμασιν.
ὁ Διονυσὸς αὐτὰ μέλαθρα.
σέβετέ νιν.
ἀντ. σέβομέν νιν.
ἴδετε λαΐνα λίσσιν ἔμβολα
διαδρομὰ τάδε.
βρόμιος ἀλαλάξεται στέγας ἔσω.
ἄνα ἄναξ ὑδραύνιον αἴθοπα λαμπάδα.

σύμφλεγε

σύμφλεγε σύμφλεγε λώματα Πενθέως.
ἀντ. ἄ, ἄ. πῦρ ὁ λύσεις, ὁρᾷ αὐγάζει
Σεμέλας ἱερὸν ἀμφὶ τάφον,
ἅρ ποτε κεραυνοβόλος
ἔλιπε φλόγα Διὸς βροντᾶς.
πίπτετε πεδόσε τρομερὰ δώματα,
πίπτετε μαινάδες.
ὁ γὰρ ἄναξ, ἄνω κάτω τιθεὶς, ἔπεισι
μέλαθρα τάδε, Διὸς γόνος Διόνυσος.

Quando prodigia euidentiora sentiunt, tum seipsa hortantur, ut proprie primum per significantiones rerum nouitatem.

στρ. βάρβαροι γυναῖκες, ὅτως ἐκπεπληγμέναι φόβῳ,
πῶς πέπλων πεπτώκαθ'; ἁδθῆ' ὡς ἔοικε Βακχίου
διαπάξαντος δώμα Πενθέως. ἀλλ' ὀχυίσατε
σῶμα, καὶ θαρσεῖτε σάρκας, ὀξαμένᾳ φάσαι χρόμου.
χο. ὦ φάος μέγιστον ἡμῖν βύιος Βακχεύματος,
ὡς ἐσεῖδόν σε, μονάδ' ἔχοσ' ἐρημίαν.
στρ. εἰς ἀθυμίαν ἀφίκεθ', ἡνίκ' εἰσεπέμπομεν
Πενθέως, ὡς εἰς σκοτεινὰς ὁρκάνας πεσήμεν.
χο. πῶς γάρ; ἆρ' ἦς μοι φύλαξ ἦν, εἰ σὺ συμφορᾶς τύχοις
ἀλλ' πῶς ἐλευθερώθης, αὖθις ὡς ἀνόσιος τυχών;
στρ. αὐτὸς ἀβλὲ ἔσωσ' ἐμαυτὸν ῥᾳδίως ἄνευ πόνου.
χο. ὁδὲ σε σωμῆφε χεῖρας ἐσμίοισιν ἐν βρόχοις;
στρ. ταῦτα Κ καθύβρισ' αὐτόν. ὃς με δεσμεύμᾳ δοκῶν
ἔτ' ἐβίγα, θὰθ' ἥψατ' ἡμῶν, ἐλπίσι δ' ἐβάσκετο.
πῶς φαίνομαι ἢ ταῦρος εὐρὼν, ὃς καθεῖρξ' ἡμᾶς ἄρ',
τῶνδε πυθιβρόχους ἔβαλε γόνασι, καὶ χηλαῖς ποδῶν,
θυμὸν ἐκπνέων, ἰσχνὰ τὰ σώματος σαίζων ἄπο,
χείλεσι δηλήσ' ὀδόντας. πλησίον δ' ἐγὼ πάρην,
ἥσυχος θάσσων, ἐλεύσσων. ἐν δὲ τῷδε τῷ χρόνῳ,
αὐλίναξ' ἐλθὼν ὁ βάκχος δῶμα, καὶ μηρὸς τάφρῳ
πῦρ ἀνῆψ'. ὁδὶ ὡς ἐσεῖδε δώματ' αὐθεδῆ δοκῶν,

πίτυος

Εἰκὼν Ignatii diua

ἥιος ἐκεῖσε, λᾷστ' ἐκεῖσε, λμωσὶν Αχελῶου φρέιν
ϛνέπων. ἅπας δ' ϛγ' ἔργω δεδλ⊖ λῶ μαστὶ πονεῖν.
δλαμεθεὶς δὲ τόνδε μόχθον, ὡς ἐμὲ πεφυγότ⊖,
ἵεται ξίφ⊖ λελαμνὸν ἁρπάζας δόμων ἔσω.
λᾷβ' ὁ βρόμι⊖, ὡς ἔμοι γε φαίνεται δέξαν λέγω,
φῶς ἐποίησε λαπ' αὐλῶν. ὁδ' ἐπὶ τῷδ' ὁρμᾷ⊖,
ἥιος, λᾷκχεύτει φαεννόν, ὡς σφάζων ἐμέ.
πῶς δὲ τοῖσγ' αὖ ⊖δ'. τἀδ' ἄλλα βάκχι⊖ λυμαίνετ',
δῶμα τ' ἐρέπει χαμᾶζε. σωτεθράνωται δ' ἃ πάν
πικροτάτους ἰδόντι δεσμοὺς αὖ ἐμούς. κόπτυ δ' ὑπο
δλαμεθεὶς ξίφ⊖, παρεῖται. πῶς θεὸν γὰρ, ὧν ἀνὴρ,
ἐς μάχλ' ἐλθεῖν ἐτόλμ'. ἥσυχ⊖ δ' ἐκ βάκχας ἄγων
δῶμα τῶν, ἥκω πῶς ὑμᾶς, Γνθέως ὁ φροντίστης.
ὡς δ' ἐμοὶ δοκεῖ, ψοφεῖ γοῦν ἀρβύλη δόμων ἔσω.
εἰς πρωνώπι' αὐτίχ' ἥξει. τί ποτ' ἆρ' ἐν τούτῳ ἐρεῖ;
ῥᾳδίως γὰρ αὐτὸν οἶσω, λᾷν πνέων ἔλθη μέγα.
,, Γρὸς σοφὸν γὰρ αὖ βροτὸς ἀσκεῖν σῶφρον' εὐοργησίαν.
ϖγ πέπονθα δεινά. δεινὰ πέφυγέ μ' ὁ ξεν⊖,
ὃς ἄρτι δεσμοῖς ἦν λατέωνα κασμέν⊖.
ἔα, ἔα. δδ' ὄπιν αὐτῆς. τί τάδε; πῶς πρόνωπ⊖
φαίνει πρὸς οἵοις τοῖς ἐμοῖς, ἔξω βεβώς;
δδ σῆσον πόδ', ὀργῇ δ' ἐπόδες ἥσυχον πόδα.
ϖγ πόθεν σὺ δείσας ἐκπεφυγὼν ἔξω πρᾷς;
δδ ἐκεῖπες; ἐκ ἥκουσας ὅτι λύσει μέ τις;
ϖγ τίς; οὐ λόγους γὰρ εἰσφορεῖς ἰσχνὸς ἀεί.
δδ ὃς τῷδε πολύβοτρυν ἄμπελον φύει βροτοῖς.
ϖγ ὠνείδισας δὴ τῶνδε Διονύσῳ δικάν.
δδ δεδέικα. δεδρᾶκα πάντα· νῦν γὰρ εὐκλεᾶ.
ϖγ τί δ'; ἐκ ἐπορβαίνουσι γῆς τείχη θεοί;
δδ σοφός, σοφὸς εἶ πλὴν ἃ δεῖ σ' εἶν σοφόν.

ἃ δεῖ

ϖγ ἃ δεῖ μάλιστα, ταῦτ' ἔγω γ' ἔφην σοφός.
διὸ δεινὸν δ' ἀκοῦσαι, πρῶτα σὺν λόγοις μαθεῖν.
ὃς δ' ἐξ ὄρους πάρεσιν ἀγγελῶν τί σοι.
ἡμεῖς δέ σοι μενοῦμεν, ὃ φυξόμεθα.
ἄγγ Γνθεῦ. δεράτιον ἦλθε Θηβαίας χθονὸς,
ἥκω, Κιθαιρῶν' ἐκλιπὼν, ἵν' ὕποτε
λευκῆς χιόν⊖ ἀνέξεται δύαγεῖς βολαί.
ϖγ ἥκεις δ' ὁποίαν πεπτιθεὶς ἀσπίλων λόγον;
ἄγγ Βάκχας ποτνιαδας εἰσιδὼν, αἳ δεδε γῆς
οἴστροισι λευκὸν λῶδον ἐξηκόντισαν,
ἥκω φράσαι σοι κἀμὲ πόλει, χρήζων ἄναξ,
ὡς δεινὰ δρῶσι, θαυμάτων τε κρείσσονα.
θέλω δ' ἀκοῦσαι, πότερά σοι παρρησίᾳ
φράσω τὰ κεῖθεν, ἢ λόγον σείλομεθα;
ὀ γὰρ τάχ⊖ σου τῷ φρενῶν δέδοικε μὴ ἄναξ,
κἀμὲ τὸ ξύνθυμον, κἀμὲ τὸ βασιλικὸν λίαν.
ϖγ λέγ' ὡς ἀθῷ⊖ δ' ἐμοῦ πάντως ἔσῃ.
,, Τοῖς γὰρ δικαίοις οὐχὶ θυμοῦσθαι χρεών.
ὅσῳ δ' αὖ εἴπερ δεινότερα βακχῶν πρὸς,
τοσῷδε μᾶλλον σὲν ὑποθῴνται τέχνας
γυναιξὶ τόνδε, τῇ δίκῃ πεδήσομεν.
ἄγγ ἀγελαῖαι μὲν βοσκήματ' ἄρτι πρὸς λέπας
μόχων ὑπεξήκειζον, ἡνίχ' ἥλι⊖
ἀκτῖνας δέσσι, θερμαίνων χθόνα.
ὁρῶ δὲ θιάσους τρεῖς γυναικείων χορῶν,
ὧν ἦρχ', ὃνος μὲν, Αὐτονόη. τῷ δὲ δευτέρᾳ,
μήτηρ Αγαυὴ σή. τρίτῳ δ' Ινὼ χορᾷ.
εὗδον δὲ πᾶσαι, σώμασι πρεμνῶναι.
αἱ μὲν πρὸς ἐλάτης νῶτ' ἐρείσασαι φόβῃ,
αἱ δ' ἐν δρυὸς φύλλοισι πρὸς πέδον κάρᾳ

ἐκεῖ

εἰκῇ βαλδῶσαι σωφρόνως, ἀχ ὡς σὺ φῄς
οἰνωμένας λιρατῆσι, καὶ λωτοῦ ψόφῳ
θηραῦ λαβ' ὕλιω Κύπριν ἠργωμένας.
ἡ σὴ δὲ μήτηρ, ὠλόλυξεν ψ' μέσαις
σαθεῖσα βαλχας, ἀζ ὕτυπτε λινέιν σίεμας,
μυκήμαθ' ὡς ἤκουσε λιροφόρων βοῶν,
αἶσλ' ἀρβαλδῶσαι θαλόρον ὁμμάτων ὕπνον,
αὐῆξαν ὀρθαὶ θαῦμ' ἰσλεῖν δύκοσμίας,
νέαι, παλαιαὶ, πᾶθγνοί τε, λἀζυγες.
καὶ πρῶτα μὲν λαθεῖσαν εἰς ὤμας κόμας
νεβρίσλας τ' ἀνεσείλαυθ', ὅσαισιν ἐμμάτων
σιύσλεσμ' ἐλέλυτο, καὶ λατασίκτας σλοκὰς
ὄφεσι λατεζώζαντο λιχμῶζαν γζήιω.
αἶσλ' ἀγκάλαισι σλορκάδ', ἢ σκύμνας λύκων
ἀγρίας ἔχουσαι, λδυκὸν ἐσλίδζαν γάλα,
ὅσαις νεοτόκοις μαζὸς λῶ παργᾶ ἔτι,
βρέφη λιπούσας. ὠδὴ σ' ἔθγτο λισσίνας
σεφάνας, σίρυός τε μίλακός τ' ἀντεσφόρου.
θύρσον σίς τις λαβοῦσ', ἔπαισεν εἰς πέτραν,
ὅθν σροσώσλης ὕσλατον ἐκπηδᾶ νοτίς.
ἄλλη δὲ ναρθηκ' εἰς πέσλον λαθῆκε γῆς,
καὶ τῇδε λρίώω ἀζανῇ οἶνο θεός.
ὅσαις δὲ λύκου πόματος πόθος πᾶλῶ,
ἄκροισι σλακτύλοισι σιαμῶσαι χθόνα,
γάλακτος ὄγμὸς εἶχον. ἐκ δὲ λισσινῶν
θύρσων γλυκεῖαι μέλιτος ἔσαζον ῥοαί.
ὥστ' εἰ πᾔδας ἦν θεόν, ἦν, νιῶ ψέγεις,
σύγχαῖσιν ἂν μετῆλθες, εἰσισλὼν τοῖδε.
ξυνῆλθομεν δὲ Βακχίοι, καὶ ποιμένος,
ποινῶν λόγων σλώσοντες ἀλλήλοις ἔεμ,

ὡς δεινὰ δρῶσι, θαυμάτων τ' ἐπαξια.
καί τις πλατείας κατ' ἄσυ, καὶ τριόδων λόγων,
ἔλεξεν εἰς ἅπαντας, ὦ σεμνὰς πλάκας
ναίοντες ὀρέων, θέλετε θηρασώμεθα
Πενθέως Ἀγαυὸν μητέρ' ἐκ Βακχευμάτων,
χαρεῖν τ' ἄνακτι θῶμεν; εὖ δ' ἡμῖν λέγειν
ἔδοξε. θάμνων δ' ἐλοχίζομεν φόβας,
λυγάντες αὐχένι. ἀν δὲ τιὼ τεταγμένω
ὥραν ἐκίνει θύρσον εἰς βακχεύματα,
ἄκχορ ἀθρόον σόματι, γὸν Διὸς γόνον
Βρόμιον καλοῦσαι. πᾶν δὲ συνεβάκχευσ' ὄρος,
καὶ θῆρες. ἐδέν δ' ἦν ἀκίνητον σρόμῳ.
λύσσει δ' Ἀγαυὴ πλησίον θρώσκουσά μου.
λαγὼ ξυνεπήδησ', ὡς συναρπάσαι θέλων
λόχμιον ἰχνώσας, φῦβ' ἐκρύπτομεν σίεμας.
ἦδ' αὐεβόησεν, ὦ σρομάδες ἐμαὶ λυίδαι,
θηρώμεθ' αὐδρῶν ἄνδ'. ἴτω ἄλ' ἔτειδέ μοι,
ἔτειδε, θύρσοις σᾷ χορῶν ὡπλισμένοι.
ἡμεῖς μὲν ἂν φύγοντες, ἀζ ἐλύξαμεν
βακχῶν παραγμόν. ἀν δὲ, νεμομένας χλόην
μόχοις ἐπῆλθον χειρὸς ἀσισήρε μέτα.
καὶ τιὼ μὲν ὦν πρόσειδες εὐθήλων τόκων
μυκωμένω ἔχουσαν ἐν χοροῖν σίκα.
ἄλλαι δὲ λαμάδας διέφορον παραγμασι.
εἶδες δ' ἂν ἢ πλευρὰν, ἢ δίχηλὸν ἔμβασιν
ῥιπτομένην ἄνω καὶ κάτω, λερέμασά δ'
ἐσαζ' ἴτω ἐλάτας αὐαπεφυρμένα αἵματι.
ταῦροι δ' ὑβρισαί, κἀς λέρας θυμάμενοι
πρόσθεν, ὀφάλλοντο πρὸς γᾶαν σίεμας,
μυκιάσι χειρῶν ἀγόμενοι νεανίσλων.

4. Hecol. ad Phoen. v. 592.

θᾶσσον δὲ διεφοροῦντο σαρκὸς ἔνδυτα,
ἢ σὺ ξυνάψαις βλέφαρα βασιλείοις κόραις.
χωροῦσι δ' ὥστ' ὄρνιθες ἀρθεῖσαι δρόμῳ
πεδίων ὑπὸ τάσεις, αἳ παρ' Αἰσωποῦ ῥοαῖς
εὔκαρπον ἐκβάλλουσι θηβαῖον στάχυν,
Υσίας τ' ἐρυθρὰς αἳ Κιθαιρῶνος λέπας
νέρθεν κατῳκήκασιν. ὥστε πολέμιοι
ἐπεισπεσοῦσαι, πάντ' ἄνωτε καὶ κάτω
διέφερον. ἥρπαζον μὲν ἐκ δόμων τέκνα.
ὁπόσα δ' ἐπ' ὤμοις ἔθεσαν, οὐ δεσμῶν ὕπο
προσείχετ', οὐδ' ἔπιπτεν εἰς μέλαν πέδον,
οὐ χαλκός, οὐ σίδηρος. ὠδὶ δὲ βοστρύχοις
πῦρ ἔφερον οὐδ', ἐκαίεθ'. οἵδ' ὀργῆς ὕπο,
εἰς ὅπλ' ἐχώρουν, φερόμενοι βακχῶν ὕπο.
ὅπερ τὸ δεινὸν ἦν θέαμ' ἰδεῖν ἄναξ.
τὰς μὲν γὰρ οὐχ' ἥμασσε λογχατὸν βέλος.
κεῖναι δὲ θύρσους ἐξανιεῖσαι χερῶν,
ἐτραυματίζον, κἀπεινώτιζον φυγῇ
γυναῖκες ἄνδρας, οὐκ ἄνευ θεῶν τινος.
πάλιν δ' ἐχώρουν ὅθεν ἐκίνησαν πόδα
κρήναις ἐπ' αὐταῖς, ἃς ἀνῆκ' αὐταῖς θεός.
νίψαντο δ' αἷμα. σταγόνα δ' ἐκ παρηΐδων
γλώσσῃ δράκοντος ἐξεφαίδρυνον χροός.
τὸν δαίμον' οὖν τόνδ', ὅστις ἔστ' ὦ δέσποτα,
δέχου πόλει τῇδ'. ὡς τάτ' ἄλλ' ἐστὶν μέγας.
κἀκεῖνό φασιν αὐτὸν, ὡς ἐγὼ κλύω,
" τὴν παυσίλυπον ἄμπελον δοῦναι βροτοῖς.
" Οἴνου δὲ μηκέτ' ὄντος, οὐκ ἔστιν Κύπρις,
" Οὐδ' ἄλλο τερπνὸν οὐδὲν ἀνθρώποις ἔτι.
Χο ταρβῶ μὲν εἰπεῖν σοὺ λόγους ἐλευθέρους,

ἐν τὸν

ἐν τὸν τύραννον, ἀλλ' ὅμως εἰρήσεται.
Διόνυσος ἥσσων οὐδενὸς θεῶν ἔφυ.
Πεν ἤδη τόδ' ἐγγὺς ὥστε πῦρ ἐφάπτεται
ὕβρισμα βακχῶν, ψόγος ἐν Ἑλληνὰς μέγας.
ἀλλ' οὐκ ὀκνεῖν δεῖ. στεῖχ' ἐπ' Ηλέκτρας ἰὼν
πύλας. κέλευε πάντας ἀσπιδηφόρους,
ἵππων τ' ἀπανταῦ ταχυπόδων ἐπεμβάτας,
πέλτας θ' ὅσοι πάλλουσι, καὶ τόξων χερὶ
ψάλλουσι νευρὰς, ὡς ὑπλστρατεύσομεν
βάκχαισιν. οὐ γὰρ, ἀλλ' ὑπερβάλλει τάδε.
εἰ πρὸς γυναικῶν πεισόμεσθ' ἃ πάσχομεν.
ἄγγ πείθῃ μὲν οὐδὲν τῶν ἐμῶν λόγων κλύων
Γενθεῦ. κακῶς δὲ πρὸς σέθεν πάσχων ὅμως
οὔφημι χρῆναί σ' ὅπλ' ἐπαίρεσθαι θεῷ,
ἀλλ' ἡσυχάζειν. βρόμιος οὐκ ἀνέξεται,
κινοῦντι βάκχας εὐίων ὀρῶν ἄπο.
Πεν οὐ μὴ φρενώσεις μ', ἀλλὰ δέσμιος φυγὼν,
σώσει τόδ', ἤ σοι πάλιν ἀναστρέψω δίκην.
ἄγγ θύοιμ' ἂν αὐτῷ μᾶλλον, ἢ θυμούμενος,
" πρὸς κέντρα λακτίζοιμι θνητὸς ὢν, θεῷ.
Πεν θύσω φόνον γε θῆλυν ὥσπερ ἄξιαι,
πολὺν ταράξας ἐν Κιθαιρῶνος πτυχαῖς.
φευξεῖσθε πάντες. καὶ τόδ' αἰσχρὸν, ἀσπίδας
θύρσοισι βακχῶν ἐκτρέπειν χαλκηλάτους.
ἄγγ ἀπόρω γε τῷδε συμπεπλέγμεθα ξένῳ,
ὡς οὔτε πάσχων, οὔτε δρῶν σιγήσεται,
ὅταν ἔτ' ἔστιν εὖ καταστῆσαι τάδε.
Πεν τί δρῶντα, δουλεύοντα δουλείαις ἐμαῖς;
ἄγγ ἐγὼ γυναῖκας δεῦρ' ὅπλων ἄξω δίχα.
Πεν οἴ μοι. τόδ' ἤδη δόλιον εἴς με μηχανᾷ.

ποιόν τι;

ἄγγ ποίον τι; σῶσαί σ' εἰ θέλω τέχναις ἐμαῖς.
πεν ξυνέθεσθε κοινῇ τάδ', ἵνα βακχεύητ' ἀεί.
ἄγγ καὶ μὴν ξυνεθέμην, τοῦτό γ' ἐστι, τοῦ θεῷ.
πεν ἐκφέρετέ μοι δεῦρ' ὅπλα. σὺ δ', παῦσαι λέγων.
ἄγγ ἃ βούλει σφ' ἐν ὄρεσι συγκαθημένας ἰδεῖν;
πεν μάλιστα μυρίονγε δοὺς χρυσοῦ σταθμόν.
ἄγγ τίδ' εἰς ἔρωτα τοῦδε πέπτωκας μέγαν;
πεν λυπρῶς νιν εἰσίδοιμ' ἂν ἐξοινωμένας.
ἄγγ ὅμως δ' ἴδοις ἂν ἡδέως ἃ σοι πικρά;
πεν σάφ' ἴσθι, σιγῇ ὑπ' ἐλάταις καθήμενος.
ἄγγ ἀλλ' ἐξιχνεύσουσί σε κἂν θέλῃς λάθρα.
πεν ἀλλ' ἐμφανῶς. καλῶς γὰρ ἐξεῖπας τάδε.
ἄγγ ἄγωμεν οὖν σε, κἀπιχειρήσεις ὁδῷ.
πεν ἄγ' ὡς τάχιστα, τοῦ χρόνου δέ σ' οὐ φθονῶ.
ἄγγ στεῖλαί νιν ἀμφὶ χρωτὶ βυσσίνους πέπλους.
πεν τί δὴ τόδ' εἰς γυναῖκας ἐξ ἀνδρὸς τελῶ;
ἄγγ μή σε κτάνωσιν, ἢν ἀνὴρ ὀφθῇς ἐκεῖ.
πεν εὖ γ' εἶπας αὐτό. καί τις εἶ πάλαι σοφός.
ἄγγ Διόνυσος ἡμᾶς ἐξεμούσωσεν τάδε.
πεν πῶς οὖν γένοιτ' ἂν ἃ σύ με νουθετεῖς καλῶς;
ἄγγ ἐγὼ στελῶ σε δωμάτων εἴσω μολών.
πεν τίνα στολήν; ἢ θῆλυν; ἀλλ' αἰδώς μ' ἔχει.
ἄγγ οὐκέτι θεατὴς μαινάδων πρόθυμος εἶ.
πεν στολὴν δὲ τίνα φῂς ἀμφὶ χρῶτ' ἐμὸν βαλεῖν;
ἄγγ κόμην μὲν ὧν σῷ κρατὶ ταναὸν ἐκτενῶ.
πεν τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου, τί μοι;
ἄγγ πέπλοι ποδήρεις ὧν κάρα δ' ἔσται μίτρα.
πεν ἦ καί τι πρὸς τοῖσδ' ἄλλο προσθήσεις ἐμοί;
ἄγγ θύρσον τε χειρί, καὶ νεβροῦ στικτὸν δέρας.
πεν οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.

ἀλλ'

ἄγγ ἀλλ' αἷμα θήσεις, συμβαλὼν βάκχαις μάχην.
πεν ὀρθῶς μολεῖν χρὴ πρῶτον εἰς κατασκοπήν.
ἄγγ σοφώτερον γοῦν, ἢ κακοῖς θηρᾶν κακά.
πεν καὶ πῶς δι' ἄστεος εἶμι, Καδμείους λαθών;
ἄγγ ὁδοὺς ἐρήμους ἵμεν. ἐγὼ δ' ἡγήσομαι.
πεν πᾶν κρεῖσσον, ὥστε μὴ γελᾶν βάκχας, ἐμοί.
ἄγγ ἐλθόντ' ἐς οἴκους, ἂν δοκῇ βουλεύσομεν.
πεν ἔξεστι πάντῃ, τόγ' ἐμὸν εὐπρεπὲς πάρα.
ἄγγ στείχοιμ' ἄν. ἢ γὰρ ὅπλ' ἔχων πορεύσομαι,
ἢ τοῖσι σοῖσι πείσομαι βουλεύμασιν.
διό ἥξει δὲ βάκχας. οὗ θανὼν, δώσει δίκην.
γυναῖκεν, ἀνὴρ εἰς βόλον καθίσταται.
Διόνυσε, νῦν σὸν ἔργον, οὐ γὰρ εἶ πρόσω.
τισώμεθ' αὐτόν. πρῶτα δ' ἔκστησον φρενῶν,
ἐνεὶς ἐλαφρὰν λύσσαν, ὡς φρονῶν μὲν εὖ,
οὐ μὴ θελήσῃ θῆλυν ἐνδῦναι στολήν.
ἔξω δ' ἐλαύνων τοῦ φρονεῖν, ἐνδύσεται.
χρήζω δέ νιν γέλωτα Θηβαίοις ὄφλειν,
γυναικόμορφον ἀγόμενον δι' ἄστεος,
ἐκ τῶν ἀπειλῶν τῶν πρὶν αἷσι δεινὸς ἦν.
ἀλλ' εἶμι, κόσμον ὅνπερ εἰς ᾅδου λαβών,
ἄπεισι μητρὸς ἐκ χεροῖν κατασφαγείς,
Πενθεῖ προσάψων. γνώσεται δὲ τὸν Διὸς
Διόνυσον, ὃς πέφυκεν ἐν τέλει θεὸς
δεινότατος, ἀνθρώποισί δ' ἡπιώτατος.
χο ἆρ' ἐν παννυχίοις χοροῖς Chorus elegantissimus
θήσω ποτὲ λευκὸν
πόδ' ἀναβακχεύουσα,
δέρην εἰς αἰθέρα δροσερὸν
ῥίπτουσ', ὡς νεβρὸς χλοεραῖς Comparatio

ἐμπάζουσα λείμακος ἡδοναῖς,
ἡνίκ' ἂν φοβερὸν φύγῃ
θήραμ' ἔξω φυλακᾶς,
εὐπλέκτων ὑπὲρ ἀρκύων.
θωΰσσων δὲ κυναγέτας,
συντείνῃ δρόμημα κυνῶν,
μόχθοις τ' ὠκυδρόμοις τ' ἀέλλαις
θρώσκῃ πεδίον παρὰ ποτάμιον, ἡδομένα
βροτῶν ἐρημίαις,
σκιαροκόμου τ' ἐν ἐρνέσιν ὕλας;
,, Τί τὸ σοφὸν, ἢ τί τὸ καλλιον
,, παρὰ θεῶν γέρας ἐν βροτοῖς,
,, ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
,, τῶν ἐχθρῶν κρείσσω κατέχειν;
,, ὅ τι καλὸν, φίλον ἀεί.
ὁρμᾶται μόλις. ἀλλ' ὅμως
πιστὸν τόγε θεῖον
σθένος. ἀπευθύνει δὲ
βροτῶν τούς τ' ἀγνωμοσύναν
τιμῶντας, καὶ μὴ τὰ θεῶν
αὔξοντας, συμμαινομένα δόξα.
κρυπτεύουσι δὲ ποικίλως
δαρὸν χρόνου πόδα, καὶ
θηρῶσιν τὸν ἄσεπτον. οὐ
γὰρ κρεῖσσόν ποτε τῶν νόμων
γινώσκειν χρὴ, καὶ μελεταῦ.
κοῦφα γὰρ δαπάνα νομίζειν,
ἰσχύν τ' ἔχειν, ὅτι ποτ' ἄρα τὸ δαιμόνιον,
τότ' ἐν χρόνῳ μακρῷ
νόμιμον, ἀεὶ φύσει τε πεφυκός.

Victoria est donum dei

De providentia divina in puniendo.

Nemo debet plus sapere legibus

,, Τί τὸ σοφὸν, ἢ τί τὸ καλλιον
,, παρὰ θεῶν γέρας ἐν βροτοῖς,
,, ἢ χεῖρ' ὑπὲρ κορυφᾶς
,, τῶν ἐχθρῶν κρείσσω κατέχειν;
,, ὅ, τι καλὸν, φίλον ἀεί.
,, Εὐδαίμων μὲν, ὃς ἐκ θαλάσσης
,, ἔφυγε κῦμα, λιμένα δ' ἔκιχεν.
,, εὐδαίμων δ', ὃς ὕπερθε μόχθων
,, ἐγίνεθ'. ἑτέρα δ' ἕτερος ἕτερον
,, ὄλβῳ, καὶ δυνάμει παρῆλθεν.
,, μυρίαι μυρίοισιν
,, ἔτ' εἰσὶν ἐλπίδες. αἱ μὲν,
,, τελευτῶσιν ἐν ὄλβῳ
,, βροτοῖς, αἱ δ' ἀπέβησαν. τὸν δὲ κατ' ἦμαρ,
,, ὅτῳ βίοτος εὐδαίμων, μακαρίζω.
διό σὲ τὸν πρόθυμον ὄνθ', ἃ μὴ χρεὼν ὁρᾶν,
σπεύδοντά τ' ἀσπούδαστα Πενθέα λέγω,
ἔξιθι πάροιθε δωμάτων, ὄφθητί μοι,
σκευὴν γυναικὸς μαινάδος βάκχης ἔχων,
μητρός τε τῆς σῆς, καὶ λόχου κατάσκοπος.
πρέπεις δὲ Κάδμου θυγατέρων μορφῇ μιᾷ.
πεν καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,
δισσὰς δὲ Θήβας, καὶ πόλισμ' ἑπτάστομον.
καὶ ταῦρος ἡμῖν πρόσθεν ἡγεῖσθαι δοκεῖς.
καὶ σῶ κέρατε κρατὶ προσπεφυκέναι.
ἀλλ' ἦ ποτ' ἦσθα θὴρ, τε ταύρωσαι γὰρ οὖν,
ὁ θεὸς ὁμαρτεῖ πρόσθεν, ὢν οὐκ εὐμενής.
διό ἐν σπονδὸς ἡμῖν. νῦν δ' ὁρᾷς, ἃ χρή σ' ὁρᾶν.
πεν τί φαίνομαι δῆτ'; οὐχὶ τὴν Ινοῦς στάσιν,
ἢ τὴν Αγαυῆς ἑστάναι μητρός γ' ἐμῆς;

Generalis sententia. Ille est beatus cui res succedunt ex animi sententia.

Iam Bacchus furorem obiicit pentheo. persuadet ei ut induat muliebrem vestem & ducit eum per urbem & postea educit ad montes ubi Bacchis mulieribus interficitur

Iam prodit furens pentheus virg. 4 Aeneid. fol: 253 Eumenidum veluti demum vidit agmina pentheus. Et solem geminum, & pues se ostendere tibas

Διο αὐτὰς ἐκείνας εἰσοραῦ λοκῶ σ' ὁρῶν.
ἀλλ' ἦλθες ἐφορᾶς σοι πλόκαμ' ἠλιηχ' ὅλε
ἐχ ὧς ἐγώ νιν ὑπὸ μίτρα καθήρμοσα.
Πεν ἐγὼ λογ πιθοίμην αὐτόν, ἀνασείων τ' ἐγὼ,
καὶ βακχιάζων, ἦλθες ἐφορᾶς μεθώρμισα.
Διό ἀλλ' αὐτὸν ἡμεῖς, οἷς σὲ θοραπεύειν μέλει,
πάλιν καταστελοῦμεν. ἀλλ' ὀρθὸν κάρα.
Πεν ἴσθ', σὺ δ' οὐ σμικρὸν. σοὶ γὰρ ἀνακείμεθα δή.
Διό ζῶναι τέ σοι χαλῶσι, κοὐχ' ἕξῃς πέπλων,
σολίσθ' ὑπὸ σφυροῖσι τείνουσι σέθεν.
Πεν καμοὶ λοκοῦσι πηδᾶν ἐλαφηδὸν πόδα.
ταὐθῴδες δ' ὀρθῶς πρὸς τέρετρ' ἔχει πέπλος.
Διό ἴσως με τῶν σῶν πρώτων ἡγήσῃ θίλων,
ὅταν πρὸς λόγον σώφρονας βαίνοντας ἴδῃς.
Πεν πότερα δὲ, θύρσον ἐξ ἀριστερᾶς λαβὼν χορὸν,
ἢ τῇδε βάκχῃ μᾶλλον εἰκάθησόμαι;
Διό σὺ δεξιᾷ χρή, χ' ἅμα δεξιῷ ποδὶ
αἴρειν νιν. αὖθις δ' ὅτι μεθέηκας φρενῶν.
Πεν ἆρ' οὖν δικαίως τὰς Κιθαιρῶνος πτύχας
αὐταῖσι βάκχαις τοῖς ἐμοῖς ὤμοις φέρειν;
Διό δικαία' ἄν, εἰ βέλτιο. τὰς δὲ πρὶν φρονᾶς,
ὅτ' εἶχες ὑγιῆς. νῦν δ' ἔχεις οἵας σε δεῖ.
Πεν μοχλοὺς φορῶμεν, ἢ χοροῖν ἀνασπάσω,
ἐπωμάδας ὑποβαλὼν ὦμον, ἢ βραχίονα.
Διό μὴ σύ γε ταῦν νυμφῶν δικαίσῃς ἰδρύματα,
καὶ πανὸς ἔφορας ὃν θ' ἔχει συρίγματα.
Πεν καλῶς ἔλεξας. οὐ θηρὶ νικητέον
γυναῖκας. ἐλάτας δ' ἐμὸν κρύψω δέμας.
Διό κρύψει σὺ κρύψει, ἦρσε κρυφθῆναι χρεών,
ἐλθόντα δόλιον μανάδων κατάσκοπον.

καὶ

Πεν καὶ μὴν λοκῶ σφᾶς γὺ λόχμας ὄρνιθας ὡς,
λέκτρων ἔχεσθαι φιλτάτοις γὺ ἕρκεσιν.
Διό ἦκεν ἐπ' αὐτὸ τοῦτ' ἀκριβὲς φύλαξ.
λήψῃ δ' ἴσως σφᾶς, ἢν σὺ μὴ λήθῃς πάρων.
Πεν κόμιζε δή με μέσης Θηβαίας χθονός,
μόνον γὰρ εἰ μ' αὐτὴν ἀνὴρ τολμᾷ τόδε.
Διό μόνον σὺ πόλεως θῆλυς ὑπορρήμνεις μόνον. Ironica.
τοι γάρ σ' ἀγῶνος αὐχμὸς ὃς ἐχρῆν.
ἴσως δὲ. σωμπὸς δ' εἰ μ' ἐγὼ σωτήριος.
ἔβαν δ' ἀπάξει σ' ἄλλος. Πεν. ἡ τεκοῦσά γε.
Διό ἐπίσημον ὄντα φαίνῃ. Πεν. ὧδ' ἐγὼ στείχω.
Διό φρόμων ἄξεις. Πεν. ἀβρότητ' ἐμὴν λέγεις.
Διό χρυσῆ μίτρος. Πεν. κἀγὼ θυφαῖ μ' ἀναγκάσει.
Διό τρυφᾷς γε τοιάδε. Πεν. ἀξίωμ' ἐγὼ ἔπημαι.
Διό Λύδας σὺ, δεινὸς, εἰ πὶ θήρ' ὁρᾷς πάθη.
ὥστ' ὀρανῷ σηρίζον εὑρήσεις κλέος.
ἕκτιδν' Ἀγαυὴ χεῖρας, αἷ θ' ὁμόπτεροι
καλλίμα θυγατέρες. ὄρη νεανίαν ἄγω
τόνδ' εἰς ἀγῶνα μέγαν. ὁ νικήσω δ' ἐγὼ,
κἀμὰ βρόμιος ἔσται. τἄλλα δ' αὐτὸ σημανῶ.
Χο ἴτε δοαὶ λύσσης κυνόδυ, ἴτ' εἰς ὄρος,
θίασον ὃν θ' ἕπονται Κάδμου κόραι.
αὐοισήσατέ νιν,
ὅθι τὸν ὑπ' γυναικομίμῳ στολᾷ.
μανάδων κατάσκοπον λυσσώδη.
μάτηρ πρῶτά νιν λόχμας ἀπὸ πέτρας,
ἢ σκόλοπος ὄψεται,
δρυόεντα. μαινάσιν δ' ἀπύσει.
τίς δ' ὅδε Καδμείων μασπὴρ θεοσδόμων,
ὃν ὄρος ὃς ὄρος ἔμολεν ὦ Βάκχαι;

τίς ἄρα νιν ἔτεκεν;
οὐ γὰρ ἐξ αἵματος
γυναικῶν ἔφυ.
λεαίνας δέ γε τινός, ἢ γοργόνων
λιβυσσᾶν, γένος.
ἴτω δίκα φανερός,
ἴτω ξιφηφόρος,
φονεύουσα δαίμων διαμπὰξ
τὸν ἄθεον, ἄνομον, ἄδικον,
Εχίονος γόνον γηγενῆ.
ὃς ἀδίκῳ γνώμᾳ, πρανόμῳ τ' ὀργᾷ
περὶ τὰ Βάκχι' ὄργια, ματρός τε σᾶς
μανεῖσα πραπίδι,
πρακόπῳ τε λήματι στέλλεται,
τὸν ἀνίκατον ὡς κρατήσων βίᾳ
γνώμαν σώφρονα. θάνατος ἀπεφάσιστος,
εἰς τά τε θεῶν ἔφυ,
βροτείῳ τ' ἔχειν ἄλυπος βίος.
τὸν σοφὸν οὐ φθόνῳ χαίρω θηρεύουσα,
τὰ δ' ἕτερα μεγάλα φανερὰ τῶν αἰεὶ
ὐδὲ τὰ καλὰ βίον
ἦμαρ εἰς νύκτα τ' εὖ
ἄγοντ' εὐσεβεῖν.
τὰ δ' ἔξω νόμιμα δίκας ἐκβαλόν-
τα τιμᾶν θεούς.
ἴτω δίκα φανερός,
ἴτω ξιφηφόρος,
φονεύουσα δαίμων διαμπὰξ
τὸν ἄθεον, ἄνομον, ἄδικον,
Εχίονος τόκον γηγενῆ.

φάνηθι

φάνηθι ταῦρος, ἢ πολύκρανός γ' ἰδεῖν
δράκων, ἢ πυριφλέγων
ὁρᾶσθαι λέων.
ἴδ' ὦ Βάκχε θηραγρέτα, Βακχᾶν
γελῶντι προσώπῳ,
περίβαλε βρόχον,
ὐδὲ θανάσιμον ἀγέλαν
πεσόντα τὰν μαινάδων.
ἄγγ ὦ δῶμ', ὃ πρίν ποτ' εὐτύχεις ἀν' Ἑλλάδα
σιδωνίου γέροντος, ὃς τὸ γηγενὲς
δράκοντος ἔσπειρ' ὄφεος ἐν γαίᾳ θέρος,
ὥς σε στενάζω, δοῦλος ὢν μὲν, ἀλλ' ὅμως
,, Χρηστοῖσι δούλοις συμφορὰ τὰ δεσποτῶν.
χο τί δ' ἐστιν; ἐκ Βακχῶν τί μηνύεις νέον;
ἄγγ Γενθεὺς ὄλωλε, παῖς Εχίονος πατρός.
χο ὦ 'ναξ βρόμιε. καὶ γὰρ θεὸς φαίνῃ μέγας.
ἄγγ πῶς φής; τί τοῦτ' ἔλεξας; ἢ 'πὶ τοῖς ἐμοῖς
χαίρεις κακῶς πράσσουσι δεσπόταις γύναι;
χο εὐάζω ξένα μέλεσι βαρβάροις.
οὐκέτι γὰρ δεσμῶν ὑπὸ φόβῳ πτήσσω.
ἄγγ Θήβας δ' ἀνάνδρους ὧδ' ἄγεις.
χο ὁ Διόνυσος, ὁ Διόνυσος, οὐ Θῆβαι κρατοῦ-
-έχουσ' ἐμόν.
ἄγγ συγγνωστὰ μὲν σοι. πλὴν ἐπ' ἐξειργασμένοις
,, κακοῖσι χαίρειν ὦ γυναῖκες, οὐ καλόν.
χο ἐννέπε μοι. φράσον τίνι μόρῳ θνήσκει,
ἄδικος, ἄδικά τ' ἐκπορίζων ἀνήρ.
ἄγγ ἐπεὶ θεράπνας τῆδε Θηβαίας χθονὸς
λιπόντες, ἐξέβημεν Ασωποῦ ῥοὰς,
λέπας Κιθαιρώνειον εἰσεβάλλομεν,

Ἐπιχαιρικακία

Narratio

 Γενθεὺς

Πενθεύς τε, λιάγω, λεπόστη γὰρ εἰσόμλω,
ξένο θ', ὃς ἡμῖν πομπὸς ἐῶ θεωρίαις,
πρῶτον μὲν ἔν ποιμνὸν ἔξομεν κάτω θ',
τά τ' ἐκποδὼν σιγηλὰ, καὶ γλώσσης ἄπο,
σώζοντες ὡς ὁρῶμεν, ἐχ ὁρώμενοι.
ἦν δ' ἄγκο ἀμφίκρημνον ὕλασι δαφερόχον,
ὠδύπασι συσκιάζον, ἔνθα μανάδες
λαθεῖσ', ἔχουσαι χεῖρας ἐν τερπνοῖς πόνοις.
αἱ μὲν γὰρ αὐτῶν θύρσον ἐκλελοιπότα
λευκῷ κομήτει ὠδῖς ἀγανέσφορον.
αἱ δ' ἐκλιποῦσαι ποικίλ' ὡς πῶλοι ζυγὰ,
Βακχεῖον αὐτέκλαζον ἀλλήλαις μέλο.
Πενθεὺς δ' ὁ τλήμων, δῆλον ἐχ ὁρῶν ὄχλον,
ἔλεξε τοιάδ'. ὦ ξέν', ὃ μὲν ἔσαμεν,
ἐκ ἀξικνοῦμαι μαινάδων ὅσοι νόθων.
ὄχθον δ' ἐτεμβὰς εἰς ἐλάτιν ὑψαύχενα,
ἴδωμ' ἂν ὀρθῶς μαινάδων αἰσχρεργίαν,
τὸν τοῦδε φῶτ ἤλπισ ξένο τι θαῦμ' ὁρῶ.
λαβὼν γὰρ ἐλάτης ἀερίου ἄκρον κλάδον,
κατῆγον, ἦγον ἦγεν εἰς μέλαν πέδον.
κύκλοῦτο δ' ὥστε τόξον, ἢ κυρτὸς τροχὸς,
τόρνῳ γραφόμενο, πεδιφορᾶν ἕλκε δρόμον,
ὡς κλῶν' ὄρειον ὁ ξένο χοροῖν ἄγων,
ἔκαμπτεν εἰς γῆν ὄργματ' ἐχὶ θνητὰ δρῶν.
Πενθέα δ' ἱδρύσας ἐλατίνῳ ὄζῳ ἐπὶ
ὀρθὸν μεθίει δι' χορῶν βλαστὴμ' ἄνω,
ἀστρέμφα φυλάσσων μὴ ναχαιτίσειέ νιν.
ὀρθὴ δ' ὁ ὀρθὸν αἰθέρ' ἐσκίζετο,
ἔχουσα νώτοις δι' ἕκαστ' ἐφήμενον.
ὦφθη δὲ μᾶλλον, ἢ κατῆλε μαινάδας.

ὅσον

ὅσον γὰρ ἄτων, δι' ἦλο ἦν θαλάσσων ἄνω.
καὶ τὸν ξένον μὲν ἐκέτ' εἰσορᾶν πάρ ἦν.
ἐκ δ' αἰθέρο φωνή τις, ὡς μὲν ἐκάσαι
Διόνυσο αὐδᾶσ', ὦ νεανίδες,
ἄγω τὸν ὑμᾶς ἐμέ, τὰμά τ' ὄργια
τέλων ἀθέμιτον. ἀλλὰ τιμωρεῖσθε νιν.
καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πρὸς οὐρανὸν
καὶ γαῖαν ἐσήειξε φῶς σεμνοῦ πυρός.
σίγησε δ' αἰθήρ, σῖγα δ' ὕλειμο νάπη,
φύλλ' εἶχε θηρῶν δ' οὐκ ἂν ἤκουσας βοῆ.
αἱ δ' ὠσὶν ἠχὴν οὐ σαφῶς δεδεγμέναι,
ἔστησαν ὀρθαὶ, καὶ δι' ὑγενακας κόρας.
ὁδ' αὖθις ἐπεκέλευσεν. ὡς δ' ἐγνώεσαν
Διὸς σαφῆ κέλευσμον Βακχίδες καλλιπάρθενοι,
ἦξαν τελείας ὠκύτητ' οὐχ ἧσσονον,
πολλῶν ἔχουσαι σωμάτων ἀρσενήματα,
μήτηρ Ἀγαυὴ, σύγγονοί θ' ὁμόσποροι,
πᾶσάν τε βάκχευ. δι' ἃ δὲ χειμαῤῥοῦς νάπης,
ἀγμῶν τ', ἐπῴδων θεοῦ πνοαῖσιν ἐμμανεῖς.
ὡς δ' εἶδον ἐλάτη δεσπότιν ἐφήμενον,
πρῶτον μὲν αὐτὸν χερμάδας ἱερατεβόλουν
ἐρρίπτουν, αὐτίπυργον ὤμβασαι πέτραν.
ὄζοισι δ' ἐλατίνοισιν ἐκοντίζετο.
ἄλλοι δὲ θύρσους εἶεσαν δι' αἰθέρο,
Πενθέως τ' ὄχθον δύσλυτον. ἀλλ' ἐκ ἤνυτον.
ἱερεῖσον γὰρ ὕφο φλ πεθυμίας ἔχων,
λαθῆσο τλήμων, ἀφελὲς λελησμένο.
τέλο δὲ, δρυΐνας συγκροανῦσαι κλάδους,
ῥίζας αὐειπαθρέασον ἀσι δ' ἥροις μοχλοῖς.
ἐπεὶ δὲ μόχθων τέρματ' ἐκ ἔζλυντον,

ἔλεξ'

ἔλεξ' Αγαυὴ, φερέ περιστᾶσαι κύκλῳ,
πτόρθου λαβεσθε μαινάδες, τὸν ἀμβάτην
θῆρ' ὡς ἕλωμεν. μήδ' ἀπαγγείλῃ θεοῦ
χορὸς κρυφαίους. αἱ δὲ, μυρίαν χερὰ
προσέθεσαν ἐλάτῃ, κἀξανέσπασαν χθονός.
ὑψοῦ δὲ θάσσων, ὑψόθεν χαμαιπετὴς
πίπτει πρὸς οὖδας μυρίοις οἰμώγμασι
Πενθεύς. κακοῦ γὰρ ἐγγὺς ὢν, ἐμάνθανεν.
πρώτη δὲ μήτηρ ἦρξεν ἱερέια φόνου,
καὶ προσπιθνεῖ νιν, ὁ δὲ, μίτραν κόμας ἄπο
ἔρριψεν, ὥς νιν γνωρίσασα μὴ κτάνῃ
τλήμων Αγαυή. καὶ λέγει πρηΐδος
ψαύων, ἐγώ τοι μῆτερ εἰμὶ παῖς σέθεν
Πενθεὺς, ὃν ἔτεκες ἐν δόμοις Εχίονος.
οἴκτειρε δ' ὦ μῆτέρ με, μὴ δὲ ταῖς ἐμαῖς
ἁμαρτίαισι, παῖδα σὸν κατακτάνῃς.
ἡδ' ἀφρὸν ἐξιεῖσα, καὶ διαστρόφους
κόρας ἑλίσσουσ', οὐ φρονοῦσ' ἃ χρὴ φρονεῖν,
ἐκ Βακχίου κατείχετ', οὐδ' ἔπειθέ νιν.
λαβοῦσα δ' ὠλένας ἀριστερὰν χερὰ,
πλευραῖσιν ἀντιβᾶσα τοῦ δυσδαίμονος,
ἀπεσπάραξεν ὦμον οὐχ ὑπὸ σθένους,
ἀλλ' ὁ θεὸς εὐμαρειαν ἐπεδίδου χεροῖν.
Ινὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο,
ῥηγνῦσα σάρκας. Αὐτονόη τ', ὄχλος τε πᾶς
ἐπεῖχε Βακχῶν. ἦν δὲ πᾶσ' ὁμοῦ βοή.
ὁ μὲν στενάζων ὅσον ἐτύγχανε πνέων.
αἱ δ' ἠλάλαζον. ἀνέφερε δ' ἡ μὲν ὠλένην,
ἡδ' ἴχνος αὐταῖς ἀρβύλαις. γυμνοῦντο δὲ
πλευραὶ σπαραγμοῖς. πᾶσα δ' ἡματωμένη

χεῖρας,

χεῖρας, διεσφαίριζε σάρκας Πενθέως.
κεῖται δὲ χωρὶς σῶμα, τὸ μὲν ὑπὸ τυφλοῖς
πέτραις, τόδ' ὕλης ἐν βαθυξύλῳ φόβῃ.
οὐ ῥᾴδιον ζήτημα, κρᾶτα δ' ἄθλιον
ὅπερ λαβοῦσα τυγχάνει μήτηρ χεροῖν,
πτήξασ' ἐπ' ἄκρον θύρσον, ὡς ὀρεστέρου
φέρει λέοντος διὰ Κιθαιρῶνος μέσου,
λιποῦσ' ἀδελφὰς ἐν χοροῖσι μαινάδων,
χωρεῖ δὲ θήρᾳ δυσπότμῳ γαυρουμένη,
τειχέων ἔσω τόνδ' ἀνακαλοῦσα Βάκχιον,
τὸν ξυγκύναγον, τὸν ξυνεργάτην ἄγρας,
τὸν καλλίνικον, ἢ δάκρυα νικηφορεῖ.
ἐγὼ μὲν οὖν ἐκποδὼν τῇ ξυμφορᾷ
ἄπειμ', Αγαυὴν πρὶν μολεῖν πρὸς δώματα.
„ Τὸ σωφρονεῖν δὲ, καὶ σέβειν τὰ τῶν θεῶν,
„ Καλλιστον οἶμαί γ' αὐτὸ, καὶ σοφώτατον
„ Θνητοῖσιν εἶναι χρῆμα, τοῖσι χρωμένοις.
χο ἀναχορεύσωμεν Βακχεῖον.
ἀναβοάσωμεν ξυμφορὰν
τὰν τοῦ δράκοντος ἐκγενέτα τοῦ Πενθέως.
ὃς τὰν θηλυγενῆ στολὰν,
ναρθηκάτε πιστὸν ἀΐδαν
ἔλαβεν, εὔθυρσον,
ταῦρον προηγητῆρα συμφορᾶς ἔχων.
Βάκχαι κασιμεῖαι,
τὸν καλλίνικον κλεινὸν ἐξεπράξατο
εἰς γόνον εἰς δάκρυα.
καλὸς ἀγὼν ἐν αἵ-
ματι στάζουσαν χέρα,
περιβαλεῖν τέκνου.

ἀλλ',

ἀλλ', εἰσορῶ γὰρ εἰς λερόμας ὁρμωμένω
Πενθέως Ἀγαυὴ μητέρ', ἣν λατρόφοις
ὄσοις, λέχεσθε λῶμον οὖδ' θεόν.
ἀγ Ἀστάλλες Βάκχαι. Χο. τί με λὴ ὀρθεῖς ὦ.
ἀγ φέρομεν ἀφ' ὀρέων ἕλικα
νεότομον ὐδὲ μέλαθρα,
μακάριον θήραμα. -
χο -ὁρῶ γε, λαί σε λέξομαι σύγκωμον. ὦ.
ἀγα ἔμαρψα τόνδ' ἄνευ βρόχων
νέον νιν ὡς ὁρᾶν πάρα. Χο. τῶθεν ἑρμίας;
ἀγα Κιθαιρών. Χο. τί λιθαιρών;-
ἀγα -λατεφόνευσέ νιν.
χο τίς ἁ βαλοῦσα πρῶτά γε;
ἀγα ἐμὸν ἐμὸν τὸ γέρας. Χο. μακαρία Ἀγαυή.
ἀγα λεγή ζόμεθ' ἐν θιάσοις.
τίς ἄλλα τὰ κάλλιμα, Χο. τί κάλλιμα;
ἀγα γένεθλα, γένεθλα, μετ' ἐμέ, μετ' ἐμέ, τόδ'
ὅλ' ἔθιγε θηρός; Χο. σύντυχεῖς τάδ' ἄγρα.
ἀγα μέτεχε νεῶν θοίνας. Χο. τί μετέχω τλήμων;
ἀγα νέο- ὁ μόχ-, ἀρτιγήνων
τῶν λόχευ' ἁπαλόπριχα
λατάκομον βάλλει.
πρέπει γὰρ ὥστε θηρὸς ἀγραύλα φόβῳ
ὁ Βάκχι- λιμαγέτας.
Σοφὸς σοφὸς ἀνέπλην
ἐπὶ θήρα τόνδε μαινάδας. Χο. ὁ γὰ ἄναξ ἀγρεύς.
ἐπαινεῖς. Χο. τίδ' ἐπαινῶ;-
ἀγα -τάχα δὲ Καδμεῖοι
ἀγ καὶ πᾶς γε Πενθεὺς ματρὸς

ἐπαινέσεται, λαβόντων ἄγραν
τάνδε λεοντόφυν
ποδιστὰ ποδιστῶς. Ἀγ. ἀγάλλε.
γέγηθα, μεγάλα, μεγάλα, φανερὰ καὶ
τάδ' ἔργα λατειργασμένα.
Χο: σλέξον νιν ὦ τάλαινα σὺν νικηφόρου
ἀθοισὶν ἄγραν, λὼ φέρετ' ἐλπύλυβας.
ἀγ ὦ λαμπίτωνος ἄγαν θηβαίας χθονὸς
ναίοντες, ἔλθετ', ὡς ἴδητε τλῶδ' ἄγραν,
Καδμεῖα θυγατέρων θηρός, ἣν ἠγρεύσαμεν,
ἀκ ἀγκυλωτοῖς θοσαλῶν σοχάσμασιν,
ἀ δικτύοισιν, ἀλλὰ λευκοπήχεσιν
χειρῶν ἀκμαῖσι. λᾶστα κομπάζειν χρεών,
καὶ λογχοπειῶν ὄργανα λιτᾶδαι μάτην.
ἡμεῖς δὲ ταύτην χειρὶ τόνδ' ἐθηρεύσαμεν.
χωρίς τε θηρὸς ἄρθρα διεφορήσαμεν.
ποῦ μοι πατὴρ ὁ πρέσβυς; ἐλθέτω πέλας.
Πενθεύς τ' ἐμὸς παῖς ποῦ 'στιν; ἀέρθω λαβὼν
πλευρὰν πρὸς οἶκον λιμακωκὸν πρόσεμβασις,
ὡς πασαλεύσῃ λερᾶτα τριγλύφοις τόδε
λέοντ-, ὃν πάρειμι θηράσας ἐγώ.
λάσ ἔτι δέ μοι φέροντες ἄθλιον βάρ-.
Πενθέως ἔτι δὲ πρόσπολοι δόμων πάρ-,
ὃ σῶμα μοχθῶν μυρίοις ζητήμασι
φέρω τόδ' εὑρὼν ἐν κιθαιρῶνος πτυχαῖς,
δι' ἀσπαρακτον, λὐδὲν ἐν τῷ δρυὸς πίσω,
λαβὼν ἐν ὕλῃ λείμακι δυσεύρετον.
ἦκον γὰρ τὰ θυγατέρων τολμήματα
ἄθλα λατ' ἄκρου τειχέων ἔσω βίβως,
σὺν τῷδ' γόρονται τειρσίᾳ βακχῶν πέρι.

ὠδλιν

πάλιν δὲ κάμψας εἰς ὄρος, κομίζομαι
τὸν κατθανόντα παῖδα μαινάδων ὕπο.
καὶ τὴν μὲν Ακταίων' ἀριστέα ποτὲ
τεκοῦσαν εἶδον Αὐτονόην, Ινώ θ' ἅμα,
ἔτ' ἀμφὶ δρυμοῖς οἰστροπλῆγας ἀθλίας.
τήνδ' εἶπέ τις μοι δεῦρο Βακχείῳ ποδὶ
στείχειν Αγαυήν. οὐδ' ἄκραντ' ἠκούσαμεν.
λεύσσω γὰρ αὐτὴν ὄψιν οὐκ εὐδαίμονα.
ἀγ πάτερ, μέγιστον κομπάσαι πάρεστί σοι,
πάντων ἀρίστας θυγατέρας σπεῖραι μακρῷ,
θνητῶν, ἁπάσας εἶπον. ἐξόχως δ' ἐμὲ,
ἣ τὰς παρ' ἱστοῖς ἐκλιποῦσα κερκίδας,
εἰς μέιζον' ἥκω θῆρας ἀγρεύειν χεροῖν.
φέρω δ' ἐν ὠλένοισιν ὡς ὁρᾷς τάδε,
λαβοῦσα τἀριστεῖα, σοῖσι πρὸς δόμοις,
ὡς ἂν κρεμασθῇ. σὺ δὲ πάτερ, δέξαι χεροῖν.
γαυρούμενος δὲ τοῖς ἐμοῖς ἀγρεύμασι,
κάλει φίλους εἰς δαῖτα. μακαρίος γὰρ εἶ,
μακαρίος, ἡμῶν τοιάδ' ἐξειργασμένων.
Audit ad dictionem penthei
κάδ ὦ πένθος οὐ μετρητὸν, οὐδ' οἷόν τ' ἰδεῖν,
φόνον ταλαίναις χερσὶν ἐξειργασμένον.
καλὸν τὸ θῦμα καταβαλοῦσα δαίμοσιν,
ὑδὶ δαῖτα θήβας τάσδε, κἀμὲ πρακαλεῖς.
οἴ μοι κακῶν μὲν πρῶτα σῶν, ἔπειτ' ἐμῶν.
ὡς ὁ θεὸς ἡμᾶς ἐν δίκως μέν, ἀλλ' ἄγαν
βρόμιος ἄναξ ἀπώλεσ' οἰκεῖος γεγώς.
ἀγ Ὡς δύσκολον τὸ γῆρας ἀνθρώποις ἔφυ,
" ἐν τ' ὄμμασι σκυθρωπόν. εἴθε παῖς ἐμὸς
εὔθηρος εἴη, μητρὸς εἰκασθεὶς τρόποις,
ὅτ' ἐν νεανίαισι θηβαίοις ἅμα

θηρῶν

θηρῶν ὀριγνῶτ'. ἀλλὰ θεομαχεῖν μόνον
potent
οἷός τ' ἐκεῖνος. νουθετητέος πάτερ,
σοί τ' ἐστι, κἀμοὶ, μὴ σοφοῖς χαίρειν κακοῖς.
ποῦ 'στιν; τίς αὐτὸν δεῦρ' ἂν ὄψιν εἰς ἐμὴν
καλέσειεν, ὡς ἴδῃ με τὴν εὐδαίμονα;
κάδ φεῦ, φεῦ. φρονήσασαι μὲν, οἷ' ἐδράσατε,
ἀλγήσετ' ἄλγος δεινόν. εἰ δὲ διατέλους
ἐν τῷδ' ἀεὶ μενεῖτ', ἐν ᾧ καθέστατε,
οὐκ εὐτυχοῦσαι δόξετ', οὐχὶ δυστυχεῖν.
ἀγα τίδ' οὐ καλῶς τῶνδ', ἢ τί λυπηρῶς ἔχει;
κάδ πρῶτον μὲν εἰς τόνδ' αἰθέρ' ὄμμα σὸν μέθες.
ἀγα ἰδού. τί μοι τῶνδ' ἐξυπεῖπας εἰσοραῦ;
κάδ ἔθ' ὡὐτὸς, ἢ σοι μεταβολὰς ἔχειν δοκεῖ.
ἀγα λαμπρότερος ἢ πρὶν, καὶ διϊπετέστερος.
κάδ τὸ δὲ πτωηθὲν ἔτι σῇ ψυχῇ πάρα.
ἀγα οὐκ οἶδα τοὔπος τοῦτο. γίνομαι δέ πως
ἐννοῦς, μετασταθεῖσα τῶν πάρος φρενῶν.
κάδ κλύοις ἂν οὖν τι, κἀποκρίναι' ἂν σοφῶς;
ἀγα ὡς ἐκλέλησμαί γ', ἃ πάρος εἴπομεν πάτερ.
κάδ εἰς ποῖον ἦλθες οἶκον ὑμεναίων μέτα;
ἀγα σπαρτῷ μ' ἔδωκας ὡς λέγουσ' Εχίονι.
κάδ τίς οὖν ἐν οἴκοις παῖς ἐγένετο σῷ πόσει;
ἀγα Πενθεὺς ἐμῇ τε, καὶ πατρὸς κοινωνίᾳ.
κάδ τίνος πρόσωπον δῆτ' ἐν ἀγκάλαις ἔχεις;
ἀγα λέοντος, ὥσγ' ἔφασκον αἱ θηρώμεναι.
κάδ σκέψαι νῦν ὀρθῶς βραχὺς ὁ μόχθος εἰσιδεῖν.
ἀγα ἔα. τί λεύσσω; τί φέρομαι τόδ' ἐν χεροῖν;
κάδ ἄθρησον αὐτὸ, καὶ σαφέστερον μάθε.
ἀγα ὁρῶ μέγιστον ἄλγος ἡ τάλαιν' ἐγώ.
κάδ μῶν σοι λέοντι φαίνεται προσεοικέναι;

Hoc dictum diligenter est observandum. Ne gaudeat sapientia cui adiuncta est calamitas. Nimia enim sapientia ad vitium usque saepe evertit & Resp. & Ecclesiae Deus enim adversatur omni fiduciae ingeniorum

Revocat eam Cadmus ad mentem. Iubet eam inspicere coelum quae est antiqua super stitio

Coactos eadem esse liquidos.

Iam redit ad se.

οὐκ

ἀγα οὐκ, ἀλλὰ Πενθέως ἥ πάλαι ἔχω λαβρα.
λάσλ οἰμωγμόνης πρόσθεν, ἢ σὲ γνωρίσαι.
ἀγα τίς ἔκβασις νίν; πῶς ἐμὰς ἦλθ' εἰς χόρας;
λαβλ λύσιν ἀληθεῖ, ὡς γὰ δ λαιρῷ πάρει.
ἀγα λέγ', ὡς τὸ μέλλον λαρδία πήδημ' ἔχει.
λάσλ σύ νιν λατέκτας, καὶ λασγνήτη σέθεν.
ἀγα ποδὶ σ' ὤλετ', ἢ λατ' οἶκον, ἢ ποίοις τόποις;
λάσλ ὅπερ πρὶν Ακταίωνα σιέλαχον λυσὶν.
ἀγα τί σ' εἰς Κιθαιρῶν' ἦλθε σὺν σλαίμων ὅσε;
λάσλ ἐκβρτόμει θεόν, σοὶς τε Βακχείας, μολών.
ἀγα ἡμεῖς σ' ἐκεῖσε τίνι τρόπῳ λατήραμεν;
λάσλ ἐμαίνετ', πᾶσά τ' ἄζεβακχεύθη πόλις.
ἀγα Διόνυσ' ἡμᾶς ὤλεσ' ἀβτὶ μανθάνω.
λαβλ ὕβριν ὑβριδείς, θεὸν γὰρ ὐχ ἡγεῖδε νιν.
ἀγα τὸ Φίλταρν δὲ σῶμα ποῦ παισὶν ποδτρ;
λάσλ ἐγὼ μόλις τόσ' ἐξορδυνήσας φόρω.
ἀγα ἢ ποῦ γῆ αὐθρους συγκεκλειμένον λαλῶς;
Πρνθεῖ δὲ τί μόρ' ἀφροσιώνης πόσιν ἐμῆς;
λάσλ ὑμῖν ἐγχύτ' ὁμοί', ὀ σέβων θεόν.
τοιγὰρ σωπᾶτε πάντας εἰς μίαν βλάβην,
ὑμᾶς τε, τόνδε θ', ὥστε λιολέσαι δόμους,
λᾶμ', ὅστις ἄτεκνο αὐτοσγόνοις παίδων γενῶς,
Φι σῆς τ' δ' ὄρνο ὦ τάλαινα νηδύο,
αἴρισε καὶ λάκισα λατθανόντ' ὀρῶ.
ὦ δῶμ' αὐτέβλεπεν. ὡς σωθήσθ' ὦ τέκνον,
τὸμὸν μέλαθρον, παιδὸς ἐξ ἐμῆς γεγώς.
πόλει τε πάρο πᾶδα. τὸν γόρντα δὲ
δόλεις ὑβρίζειν ἦθελ', εἰσορῶν τὸ σόν
λάρα. δίκην γὰρ αἰαν ἐλαμβανεν.
νῶν δ' ἐκ δόμων ἄτιμο ἐκβεβλήσομαι.

ὁ Κάδμο

ὁ Κάδμο ὁ μέγας, ὃς τὸ Θηβαίων γένο
ἔσπειρα, λαξήμησα λάλλιστον θρο.
ὦ Φίλτατ' ἀνδρῶν. καὶ γὰρ ὄντ' ὢν ὅμως
σοὶ Φιλτάτῳ ἐμοί γ' ἀριθμήση τέκνων
ὄντι γηραιὰ τδιδε θιγγάνων χορί.
Ὁ μητρὸς αὖ δῶν πατρὸς πῶς πλύξει τέκνον,
λέγων, τίς σ' ἀδικεῖ, τίς σ' ἀτιμάζει γέρον,
τίς σὸν παράσει λαρδίαν λυπηρὸς ὤν;
λέγ' ὡς λολάζω τὸν ἀδικοῦντά σ' ὦ πάτερ.
νῦν δ' ἄθλιο μὲν εἰμ' ἐγὼ, τλήμων δὲ σύ,
οἰκτρὰ δὲ μήτηρ, τλήμονδε δὲ σύγγονοι.
εἰ δ' ἔστιν ὅστις λαιμόνων σωφρονεῖ,
εἰς τοῦδ' ἀθρήσας θανάτον ἡγείσθω θεός.
χο τὸ μὲν σὸν ἄλγο Κάδμε, σὸς δ' ἔχει δίκη
πᾶς παιδὸς, ἀξίαν μὲν, ἀλγεινῶς δὲ σοί.
λιό ὦ πάτερ, ὁρᾷς γὰρ τἄμ' ὅσον μετεσράφη,
ἐκθηλωθεῖσ', ὄφελο ἄλλαξε τύπον,
ὦ Αρεο ἔχθν Αρμονίαν, θνητὸς γεγώς.
ὄχον δὲ μόχων, χρησμὸς ὡς λέγει Διός.
ἐλᾷς μετ' ἄλόχο, Βαρβάρων ἡγήμονο.
πολλὰς δὲ πέρσει αὐαείθμων στρατεύματα
πόλεις. ὅταν δὲ λεξίν χρησήριον
ἅλαρπάσωσι νόσον ἄθλιον πάλιν,
χήσεσί, σε δ' Αρης Αρμονίαν τε ῥύσεται,
μακαίρων τ' ὄν ἄιαν σὸν λατηλύσει βίον.
τοῦτ' ἐχὶ θνητοῦ πατρὸς ἐγγεγὼς λέγω
Διόνυσο, ἀλλὰ Ζηνός. εἰ δὲ σωφρονεῖν
ἔγνωθ' ὅτ' ὐκ ἠθέλετε, τὸν Διὸς γόνον
σύλαιμονοῦντ' ἂν σύμμαχον λεκτημένοι.
λάσλ Διόνυσε, λιοσόμεθά σ', ἡδλικήκαμεν.

στρ. ὄψ' ἐμαθεθ' ἡμᾶς. ὅτε σ' ἐχρῆν, ἀκ πόλεως.
ἀντ. ἔγνωκα μὲν ταῦτ'. ἀλλ' ἐπεξόρμια λίαν.
στρ. καὶ γὰρ πρὸς ἡμῶν θεὸς γεγώς, ὑβρίζομεν.
ἀντ. ὀργὰς πρέπει θεὸς ὡς ὁμοιοῦσθαι βροτοῖς.
στρ. πάλαι τάδε Ζεὺς οὑμὸς ἐπῴδυσεν πατήρ.
ἀγ. ἆρ', ἆρ' ἀπόλωλα πρέσβυς, τλήμονος φυγαί.
ἀντ. ὦ τέκνον, ὡς εἰς πόνον ἥθομεν ἀκόμπ.
σὺ δ' ἡ τάλαινα, σύγγονοί τε σαὶ φίλαι,
ἐγὼ θ' ὁ τλήμων βαρβάρους ἀφίξομαι
γόρῳ μέτοικος. ἔστι δέ μοι τὸ θέσφατον
εἰς Ἑλλάδ' ἀγαγεῖν μιγάδα βάρβαρον στρατόν.
καὶ τῇ Ἄρεως παῖδ' Ἀρμονίαν, δ' ἁμαρτ' ἐμόν,
δράκων δρακαίνης φύσιν ἔχουσαν ἀγρίαν,
ἄξω 'πὶ βωμούς, καὶ τάφους Ἑλληνικούς,
ἡγεμὼν λόγχαισιν. ὧδε καύσομαι
κἀκῶν ὁ τλήμων. ὧδε γὰρ καταβάτλιω
Ἀχέροντα πλεύσας, ἥσυχος γηρήσομαι.
ἀγ. ὦ πάτερ, ἐγὼ δέ σε σὸν δρηθεῖσα, φεύξομαι.
ἀντ. τί μ' ἀμφιβάλλεις χροΐ σῷ τάλαινα πᾶ,
ὄρνις ὅπως λιγυρὰν ὠλιόχρως κύκνος;
ἀγ. ποῖ γὰρ τράπωμαι, πατρίδος ἐκβεβλημένης;
ἀντ. ἐποίδα τέκνον. μικρὸς ἐπίκουρος πατήρ.
ἀγ. χαῖρ' ὦ μέλαθρον. χαῖρ' ὦ πατρῴα
πόλις. ἐκλείπω σ' ὧδε λυσυχίᾳ
φυγᾶς ἐκ θαλάμων.
ἀντ. εἶχέ νιν ὦ πᾶ γὰρ Ἀσιὰς
ἀγ. σέβομαί σε πάτερ. καὶ. μᾶ γὰ τέκνον,
καὶ σὰς ἐναλίκρυπτα λασιγνήτους.
ἀγ. δεινῶς γὰρ δεινῶς ταύδ' αἰκίαν
Διόνυσος ἄναξ

σὺν σὰς εἰς οἴκους ἔφορε.
στρ. καὶ γὰρ ἔπαθον δεινὰ πρὸς ὑμῶν
ἀγόρατον ἔχων ὄνομ' ἐν Θήβαις.
ἀγ. χαῖρε πάτερ μοι.
ἀντ. χαῖρ' ὦ μέλεα καὶ σύ γε θύγατερ.
χαλεπῶς εἰς τόδ' ἀφῖκτο.
ἀγ. ἄγετ' ὦ ὠμοπόμ με, λασιγνήτας,
ἵνα συμφυγάδας λήψωμ' οἰκτράς,
ἔλθοιμι δ' ὅπου
μήτε Κιθαιρὼν μιαρός,
μήτε Κιθαιρῶν' ὄστοισιν μ' ἐγὼ,
μήθ' ὅθι θύρσου μνῆμ' ἀνάκειται.
βακχαῖς δ' ἄλλαισι μέλοιεν.
χο. πολλαὶ μορφαὶ τῶν δαιμόνων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη.
τῶν δ' ἀδοκήτων, πόρον εὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

ΕΥΡΙΠΙΔΟΥ ΚΥΚΛΩΨ.

ΥΠΟΘΕΣΙΣ ΚΥΚΛΩΠΟΣ.

Ὀδυσσεὺς ἀναχθεὶς ἐξ Ἰλίου, εἰς Σικελίαν ἀπερρίφη, ἔνθα ὁ Πολύφημος. εὑρὼν καὶ λοιδοροῦντας ἐκεῖ αὐτὸν Σατύρους, οἶνον ὠνοῦντας, ἄρνας ἤμελλε λαμβάνειν, καὶ γάλα πρὸς αὐτῶν. ὧν φανεὶς δ' ὁ Πολύφημος, ζητεῖ τὴν αἰτίαν ἅλ τῶν ἰδίων ἐκφορήσεως. ὁ Σιληνὸς δὲ, τὴν ξενίαν λοιδοροῦντα καταλαβεῖν φησι.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Σιληνός. Ὀδυσσεύς.
Χορὸς Σατύρων. Κύκλωψ.

Προλογίζει δὲ ὁ Σιληνός.

Ingentem manibus tollens cratera duabus
Primus monachus talia uerba refert.
Poculla qui miser exhausit ne quitta superstit
Vnde queat tantam mutua benare sitim
Lautitiasq; soli crassum distendere ventrem
Rara ferunt illa rarior ipsa fides.
Heu miseros fratres heu durae semita vitae
Quam vobis carpsit nuta labore grauis.
His meritis coelum quis denegat? Stamus ipse
In summa tales collocat arce pios.

ΕΥΡΙΠΙΔΟΥ ΚΥΚΛΩΨ.

Βρόμιε, σοῖς γὰρ σὲ μυείαις
ἐγὼ πόνους
νωῖν, ἐπ' ὤμοις ἡνίκ' ἐμμανὴς Ἥρας ὕπο,
νύμφας ὀρείας ἐκλιπὼν ἄχθη τροφούς.
ἔπειτά γ' ἀμφὶ γυμνεῦ μαχλὶς λοιπὸς,
ἐν Λέξι σῷ πολὶ πρὸς αἰσης γεγὼς,
ἐγκέλαδον ἱτέαν εἰς μέσ' ἰὼν θῴων, σοὶ
ἔκτεινα. φέρ' ἴδω. τοῦτ' ἰδὼν ὄναρ λέγω;
οὔ μὰ Δί', ἐπεὶ καὶ σκῦλ' ἔλειξα Βακχίῳ
κἀν νωῖν ἐκείνων μείζον' ἐξαντλῶ πόνον.
ἐπεὶ γὰρ Ἥρα σοὶ γύου τυρσηνικὸν
λησὼν ἐπῶρσεν, ὡς ὀλοθείης μακρὰν,
ἐγὼ πυθόμενος, σὺν τέκνοισι ναυστολῶ,
σέθεν ἥκων ζητήσων. ἐν πρύμνῃ δ' ἄκρᾳ
αὐτὸς λαβὼν, ὕδωρ ἀμφῆρον δόρυ.
πᾶσίς τ' ὀρεσσοῖς ἤμενοι, γλαυκὴν ἅλα
ῥοθίοισι λυκαίνοντον, ἐζήτουν σ' ἄναξ.
ἤδη δὲ Μαλέας πλησίον πεπλευκότας,
ἀπηλιώτης ἄνεμος ἐμπνέων δοκεῖ,
ἐξέβαλεν ἡμᾶς τῆσδ' ὀλοᾶς αἰτναίας πέτρας,
ἵν' οἱ μόνωπες ναυτίοις πᾶσιν θεὸν,
Κύκλωπες οἰκοῦσ' ἄντρ' ὄρεσι· αὐθροκτόνοι.
τούτων ἑνὸς ληφθέντος, ἐσμὲν ἐν δόμοις
δοῦλοι. μαλῶσι δ' αὐτὸν, ᾧ λατρεύομεν,
Πολύφημον. αὐτὶ δ' ὑΐων Βακχευμάτων,

Quare tacent Silenī. &
miserè interpretum
monachorum.

ocasio argumenti

Antithesis

ποίμνας Κύκλωπος ἀνοσίου ποιμαίνομεν.
παῖδες μὲν οὖν μοι, Κλυτίων ἐν ἐσχάτοις
νέμουσι μῆλα νέα, νέοι πεφυκότες.
ἐγὼ δὲ πληροῦν πίστρα, καὶ σαίρειν στέγας
μένων τέταγμαι τάσδε, τῷδε δυσσεβεῖ
Κύκλωπι δείπνων ἀνοσίων διάκονος.
καὶ νῦν τὰ πεσταχθέντ' ἀναγκαίως ἔχει,
σαίρειν σιδηρᾷ τῇδέ μ' ἁρπαγῇ δόμους.
ὡς τόν τ' ἀπόντα δεσπότην Κύκλωπ' ἐμόν,
καθαροῖσιν ἄντροις, μῆλα τ' εἰσδεχώμεθα.
ἤδη δὲ παῖδας πεσνέμοντας εἰσορῶ
ποίμνας. τί ταῦτα; μῶν κρότος Σικινίδων,
ὅμοιος ὑμῖν νῦν τε, χ' ᾧ τε Βακχίῳ
κῶμοι συνασπίζοντες ἀλθαίας δόμους,
πεσῆτ' ἀοιδαῖς Βαρβίτων σαυλούμενοι;
χο πᾷ δή μοι γενναίων μὲν πατέρων,
γενναίων τ' ἐκτοκάδων;
πᾷ δή μοι νίσῃ σκοπέλους;
οὐ τῷδ' ὑπήνεμος αὖρα,
καὶ ποιηρά Βοτάνα,
δινῶσιν θ' ὕδωρ ποταμῶν
ἐν πίστραις κεῖται, πέλας ἄν-
τρων. οὔ σοι Βλαχαὶ τεκέων
ψύττα. οὐ τάδ' οὔ, οὐ τάδε νέμῃ.
οὔτ' οὖν κλιτὺν δροσεράν.
ὠή. ῥίψω πέτρον τάχα σου.
ὑπάγω, ὑπάγω κεράστα,
μηλοβότα στασίωρον,
Κύκλωπος ἀγροβότα.
σπαργῶντάς μοι σοῦ μαστοὺς χάλασον.

Nunc commemorat suos labores

Νοημα Genus vitae necessarium est utrunque ferendum

Alloquitur Satyriscos.

Chorus Satyriscorum repellit a saxis petrosis

δέξαι

δέξαι θηλαῖσι σπορὰς,
ἃς λείπεις ἀρνῶν θαλάμοις,
ποθοῦσί σ' ἁμερόκοιτοι
Βλαχαὶ σμικρῶν τεκέων.
εἰς αὐλὰν ποτ' ἀμφιβάλλεις
ποιηρὸς λειποῦσα νομοὺς,
αἰτναίων εἴσω σκοπέλων.
οὐ τάδε Βρόμιος, οὐ τάδε χοροὶ,
Βάκχαι τε θυρσοφόροι.
οὐ τυμπάνων ἀλαλαγμοὶ,
κρήναισι παρ' ὑδροχύτοις.
οὐκ οἴνου χλωραὶ σταγόνες.
οὐ νύσσα μετὰ νυμφᾶν,
ἴακχον. ἴακχον ᾠδὰν
μέλπω πρὸς τὰν Αφροδίταν,
ἂν θηρεύων πετόμαν,
Βάκχαις σὺν λευκόποσιν.
ὦ φίλος, ὦ φίλε Βακχεῖε,
ποῖ οἰοπολεῖς,
ξανθὰν χαίταν σείων;
ἐγὼ δ' ὁ σὸς πρόσπολος,
θητεύω Κύκλωπι
τῷ μονοδέρκτα,
δοῦλος ἀλαίνων σὺν τᾷδε
τραγοχλαίνῳ μελέᾳ, σᾶς χωρὶς φιλίας.
σι σιγήσατ' ὦ τέκν', ἄντρα δ' εἰς πετρηρεφῆ
